γειλαμένη, ἀπατήσασα δὲ αὐτὸν ἐλπίδι μεγάλης προικός· καὶ διὰ τοῦτο καὶ ὁ ἀνὴρ ἐπηγγείλατο ψιλῶς [6]) ἢ καὶ ἐπηρωτήθη, λόγῳ μνήστρων δωρηθῆναι τῇ γυναικὶ ποσότητα φανερὰν, τυχὸν σ' νομισμάτων. ἐπὶ τούτοις συνέστη ὁ γάμος, καὶ ἐτελεύτησεν ὁ ἀνὴρ ἐπὶ ἀδελφῷ κληρονόμῳ. ἡ γυνὴ τοίνυν ἐκίνει κατὰ τοῦ ἀδελφοῦ καὶ κληρονόμου τοῦ ἀνδρὸς ἀπαιτοῦσα αὐτὸν τὸ [7]) ἐκ τῆς ἐπαγγελίας ἤγουν ἐπερωτήσεως. ἀντιγράφει οὖν ἡ διάταξις οὕτως πρὸς τὸν ἀδελφόν· τὴν γὰρ ἐπαγγελίαν ἀπὸ τοῦ ποτε ἀδελφοῦ σου μνήστρων ἕνεκεν γενομένην, εἰ καὶ εἰς ἐπερώτησιν κατενεχθεῖσαν ἐπιζητεῖ ἡ γυνὴ, διὰ τοῦτο [8]) οὐκ ὀφείλει παρασχεθῆναι αὐτῇ, ἐπειδὴ ἐν τῇ προικὶ τὸν ἄνδρα ἠπάτησεν [9]).

δ'. Ἡ διάταξις βούλεται τὸν προξενοῦντα γάμον μάλιστα μὲν μηδὲν λαμβάνειν· εἰ δὲ ὅλως ἀνέχεται λαβεῖν, εἰ μὲν μηδὲν συνεφώνησε περὶ τούτου, μηδὲν ὅλως λαμβάνειν, εἰ δὲ καὶ συνεφώνησε, μὴ ὑπὲρ τὴν κ' μοῖραν τῆς προικὸς καὶ τῆς προγαμιαίας δωρεᾶς ἐπιζητεῖν [10]).

magnae dotis eum decipiens: ideoque et vir vel nude promisit vel etiam spopondit, sponsalium nomine uxori dare certam quantitatem, aureorum forte CC. Ita contractum fuit matrimonium, et obiit vir fratre herede relicto. Mulier inde egit adversus fratrem et heredem viri, petens, quod promissum aut stipulatum erat. Rescribit igitur constitutio fratri sic: Pollicitationem scilicet a fratre quondam tuo sponsalium causa factam, licet in stipulationem deductam mulier postulet, ideo ei praestanda non est, quoniam in dote virum fefellit.

4. Constitutio vult, ut nuptiarum conciliator potissimum nihil accipiat; sin omnino accipere sustinet, si nihil quidem de eo pactus fuerit, nihil prorsus capiat: sed et si pactus fuerit, ne super vicesimam partem dotis et ante nuptias donationis postulet.

6) L: ψιλῶς ἐπηγγ.

7) B: τά.

8) B: διὰ τοῦτο δέ.

9) Cod. eod. const. 3. — Harm. eod. §. 6.

10) Cod. V, 1, 6. — Harm. eod. §. 12.

ε'. Ἐπειδὴ τῇ μὲν μνηστῇ δυνατὸν δωρεῖσθαι, οὐκέτι δὲ καὶ τῇ γαμετῇ, ἐζητεῖτο, ἆρα, ἐὰν γένηται δωρεὰ ἐν αὐτῇ τῇ ἡμέρᾳ τῶν γάμων, ὡς πρὸς μνηστὴν γενομένη ἔῤῥωται, ἢ ὡς πρὸς γαμετὴν ἀνυπόστατός ἐστιν; λέγει τοίνυν ἡ διάταξις, ὅτι ἐν τῇ τοσαύτῃ ἀδηλίᾳ δεῖ ζητεῖν, ποῦ τῆς γυναικὸς οὔσης ἡ δωρεὰ γέγονεν, ἵνα, εἰ μὲν ἐν τῷ οἴκῳ τῷ ἰδίῳ ἦν, δόξῃ πρὸς μνηστὴν δωρεὰ γεγονέναι, εἰ δὲ ἐν τῷ οἴκῳ τοῦ ἀνδρός, πρὸς γαμετήν [11]).

ϛ'. Ἡ γενομένη παρὰ τοῦ πενθεροῦ ἢ τῆς πενθερᾶς πρὸς τὴν νύμφην ἢ τὸν γαμβρὸν δωρεὰ οὐδὲ ἀπὸ θείας ἀντιγραφῆς ἀναιρεῖται [12]).

ζ'. Οἱ δανεισταὶ τοῦ ἀνδρός, εἰ μὴ ὑποθήκας ἔχωσιν, οὐ δύνανται τὰ τῇ μνηστῇ δωρηθέντα παρ' αὐτοῦ πράγματα ἀποσπᾶν [13])

5. Quando sponsae quidem donari licet, non item uxori, quaesitum est, utrum, si ipso nuptiarum die donatio fiat, veluti sponsae facta valeat, an velut uxori consistere nequeat? Ait itaque constitutio, in tanta ambiguitate quaerendum esse, ubinam mulier esset, quum donatio facta fuit: ut, siquidem mulier domi suae posita esset, donatio videatur in sponsam collata, si vero in domo mariti, in uxorem.

6. Facta a socero aut socru nurui aut genero donatio neque sacro rescripto rescinditur.

7. Creditores viri, nisi hypothecas habeant, non possunt res sponsae ab ipso donatas eripere.

11) Cod. V, 3, 6. — Basil. Fabrot. IV p. 235 schol. k. — Harm. eod. §. 7.

12) Cod. eod. const. 9. — Harm. eod. §. 8.

13) P: διατ. ιγ'. — Cod. eod. const. 13. — Harm. eod. §. 11. — In fine B addit §. 6 tituli sequentis: eandem tamen infra quoque suo loco exhibet.

ΤΙΤΛΟΣ ΤΕΤΑΡΤΟΣ.

Περὶ ὅρου καὶ διαθέσεως γάμου.

α'. Γάμος ἐστὶν ἀνδρὸς καὶ γυναικὸς συνάφεια καὶ συγκλήρωσις πάσης ζωῆς, θείου τε καὶ ἀνθρωπίνου δικαίου κοινωνία [1].

β'. Ἐννόμους δὲ γάμους μεταξὺ ἀλλήλων συνιστῶσι ῥωμαῖοι, ἡνίκα τὰ περὶ τῶν γάμων τοῖς νόμοις διηγορευμένα φυλάξωσιν [2].

γ'. Δεῖ δὲ τοὺς μὲν ἄῤῥενας ἐφήβους εἶναι, τὰς δὲ θηλείας ἀνδρὸς δεκτικάς, τουτέστι τοὺς μὲν ὑπερβεβηκέναι τὸν ιδ' χρόνον, τὰς δὲ μείζονας εἶναι τῶν ιβ' ἐνιαυτῶν. ταῦτα δὲ λέγομεν, εἴτε αὐτεξούσιοι εἴτε ὑπεξούσιοί εἰσιν οἱ πρὸς γάμον συνιόντες.

δ'. Οὐ γίνεται γάμος, εἰ μὴ συναινέσωσιν οἱ συναπτόμενοι καὶ οἱ ἔχοντες αὐτοὺς ὑπεξουσίους [3].

TITULUS QUARTUS.

De definitione et ritu nuptiarum.

1. Nuptiae sunt viri et mulieris conjunctio et consortium omnis vitae, divini atque humani juris communio.

2. Justas autem nuptias inter se contrahunt Romani, si, quae legibus de nuptiis cauta sunt, observarint.

3. Oportet autem mares quidem esse puberes, feminas autem viripotentes, hoc est illos excessisse quartum decimum annum, has majores esse duodecim annis. Haec autem dicimus, sive sui sive alieni juris sint qui nuptias coeunt.

4. Non fiunt nuptiae, nisi consentiant qui conjunguntur et ii, quorum in potestate sunt.

1) P: βι. κγ' τί. β' διατ. α'. — Dig. XXIII, 2, 1. — Harm. IV, 4, 1.

2) Haec et sequens §. est ex Inst. I, 10, pr. Theophil. ibid. — Harm. eod. §. 2.

3) P: βι. τί. β' διατ. — Dig. l. c. dig. 2. — Harm. l. c. §. 3.

ε'. Ἡ ἥττων τῶν ιβ' ἐτῶν γαμηθεῖσα τότε γίνεται νόμιμος γαμετὴ, ὅτε παρὰ τῷ ἀνδρὶ πληρώσει τὰ ιβ' ἔτη [4]).

ς'. Ἀπὼν ὁ ἀνὴρ δύναται διὰ μέσου ἢ [5]) διὰ ἐπιστολῆς γαμεῖν, τῆς γυναικὸς εἰς τὸν οἶκον αὐτοῦ ἀνιούσης. εἰ δὲ ἡ γυνὴ ἀπολιμπάνεται, οὐ δύναται τοῦτο γενέσθαι [6])· δεῖ γὰρ εἰς τὸν οἶκον τοῦ ἀνδρὸς ἀνελθεῖν τὴν γυναῖκα. καὶ ἐὰν ἀποθάνῃ πρὶν ἢ ἐπανέλθῃ, πενθεῖται [7]) παρὰ τῆς γυναικός. καὶ συμβαίνει παρθένον ἔχειν προῖκα [8]) καὶ περὶ προικὸς ἀγωγήν [9]).

ζ'. Ἐὰν ὁ πάππος μαίνηται, ὁ πατὴρ συναινεῖ. εἰ δὲ ὁ πατὴρ, ἀρκεῖ ὁ πάππος συναινῶν, εἰ φρονῇ [10]).

η'. Εἴσω τριετίας τοῦ αἰχμαλώτου μὴ ὑποστρέφοντος, ὁ υἱὸς αὐτοῦ δύναται γαμεῖν [11]).

θ'. Ἐὰν ἐπὶ τριετίαν ὁ πατὴρ ἠγνόηται ποῦ διάγει καὶ εἰ περίεστι, δύνανται οἱ ἑκατέρας φύσεως αὐ-

5. Minor duodecim annis nupta tunc legitima fit uxor, quum apud virum expleverit duodecim annos.

6. Vir absens per internuntium aut per epistolam matrimonium contrahere potest, si mulier in ejus domum deducatur. Si vero absit mulier, hoc fieri nequit: mulierem enim in domum mariti abire oportet. Et si moriatur antequam redierit, lugetur ab uxore. Et evenit, ut virgo habeat dotem et de dote actionem.

7. Si avus furit, pater consentit: si vero pater, sufficit avi consensus, dummodo sapiat.

8. Captivo intra triennium non revertente, filius uxorem ducere potest.

9. Si per triennium ignoretur, ubi pater agat et an superstes sit, possunt ejus liberi utriusque sexus

4) Dig. l. c. dig. 4. — Harm. eod. §. 4.

5) C ἢ non habet. L: διὰ μεσίτου.

6) B: γίνεσθαι.

7) R: θρηνεῖται.

8) B: τὴν προῖκα.

9) Dig. h. t. dig. 5. 6. 7. — Harm. eod. §. 5. 6.

10) R addit: ὅταν ὁ πατὴρ ὑπεξούσιος τῷ πάππῳ δηλονότι ᾖ. — Dig. h. t. dig. 9 pr. — Harm. eod. §. 7.

11) Dig. h. t. dig. 9. §. 1. — Harm. eod. §. 8.

τοῦ παῖδες νομίμως γαμεῖν. εἰ δὲ πρὸ τῆς τριετίας οἱ παῖδες τοῦ αἰχμαλώτου ἢ τοῦ ἀπόντος γαμήσωσι [12]), καὶ δῆλόν ἐστι μὴ ἀπαρέσκειν τῷ πατρὶ τὸ πρόσωπον, ἔῤῥωται ὁ γάμος [13]).

ι'. Ὁ ἀδίκως κωλύων γαμεῖν ἢ γαμεῖσθαι τοὺς ἰδίους ὑπεξουσίους, ἢ μὴ διδοὺς προῖκα, διὰ τῶν ἀρχόντων ἀναγκάζεται ἐκγαμίζειν [14]) καὶ προικίζειν. κωλύειν δὲ δοκεῖ μὴ [15]) ζητῶν μνηστείαν [16]).

ια'. Οἰκείᾳ γνώμῃ γαμεῖν ἡ ὀρφανὴ δύναται. ἡ γὰρ τῶν πραγμάτων διοίκησις πρὸς τὸ ὀφφίκιον τοῦ κουράτορος φέρεται, οὐ μὴν ὁ γάμος αὐτῆς [17]).

ιβ'. Ὁ αὐτεξούσιος τελείαν ἄγων ἡλικίαν καὶ χωρὶς τῆς τοῦ πατρὸς συναινέσεως γαμεῖ [18]).

ιγ'. Τὰ πένθη τῶν ἀνιόντων οὐκ ἐμποδίζει τοῖς γάμοις τῶν πενθούντων [19]).

nuptias legitimas contrahere. Quod si ante triennium liberi captivi aut absentis nuptias contraxerint, et certum est, eam personam patri non displicere, ratae sunt nuptiae.

10. Qui liberos suos, quos in potestate habet, ducere uxores aut nubere injuria prohibet, aut dotem non dat, per praesides cogitur in matrimonium collocare et dotare. Prohibere autem videtur, qui non quaerit conditionem.

11. Proprio arbitrio pupilla nubere potest. Rerum enim administratio ad officium curatoris pertinet, non autem nuptiae illius.

12. Emancipatus perfectam agens aetatem etiam sine patris consensu uxorem ducit.

13. Luctus ascendentium non impedit nuptias lugentium.

12) B: γαμήσουσι.
13) Dig. h. t. dig. 10. 11. — Harm. eod. §. 9.
14) C: ἐγγαμίζειν.
15) B: ὁ μή.
16) Dig. h. t. dig. 19. — Harm. eod. §. 10.
17) Dig. h. t. dig. 20. — Harm. eod. §. 11.
18) Dig. h. t. dig. 25. — Harm. eod. §. 12.
19) Dig. III, 2, 11 pr. — Harm. eod. §. 13.

ιδ'. Ὁ γάμος καὶ χωρὶς προικῴων συμβολαίων συνίσταται, δηλονότι φυλαττομένης τῆς τοῦ νόμου παρατηρήσεως [20]).

ιε'. Ἡ αὐτεξουσία τελείαν ἄγουσα τὴν ἡλικίαν καὶ ἄκοντος τοῦ πατρὸς νομίμως συνάπτεται ἀνδρί [21]).

ις'. Ἐὰν ἡ ὀρφανὴ πληρώσῃ τὸν κε' ἐνιαυτὸν καὶ ἕτερον ἕνα χρόνον, καὶ δώσῃ τοὺς λόγους ὁ ἐπίτροπος, οὕτως δύναται ταύτην γαμεῖν [22]).

ιζ'. Τὸν γάμον οὐ τὸ συγκαθευδῆσαι ἀλλήλοις [23]) τὸν ἄνδρα καὶ τὴν γυναῖκα συνίστησιν [24]), ἀλλ' ἡ γαμικὴ συναίνεσις αὐτῶν [25]).

ιη'. Ὅτε περὶ τοῦ γάμου τῆς ἀνήβου καὶ ὀρφανῆς κόρης ἀμφιβάλλουσι μήτηρ καὶ συγγενεῖς καὶ ἐπίτροποι, ὀφείλει ὁ ἄρχων τὰ περὶ τούτου διακρίνειν [26]).

ιθ'. Ἡ ἔλαττον τῶν κε' ἐνιαυτῶν [27]) αὐτεξουσία μέλλουσα δευτερογαμεῖν γνώμῃ τοῦ πατρὸς γαμείσθω· εἰ δὲ ἐτελεύτησεν ὁ πατήρ, γνώμῃ τῶν συγγενῶν. εἰ δὲ

14. Nuptiae etiam sine dotalibus instrumentis consistunt, nimirum custodienda legum observatione.

15. Emancipata perfectam agens aetatem etiam invito patre viro legitime nubit.

16. Si pupilla XXV annum impleverit et unum praeterea annum, et rationes dederit tutor, tunc illam poterit ducere.

17. Nuptias non mutuus viri et mulieris concubitus facit, sed nuptialis eorum consensus.

18. Quando circa nuptias impuberis et orbae puellae dissentiunt mater et cognati et tutores, praesidem hoc dijudicare oportet.

19. Filia emancipata minor XXV annis secundo nuptura patris consensu nubat: si pater mortuus sit, ex

20) Cod. V, 4, 13. — Harm. eod. §. 14.

21) Harm. eod. §. 17.

22) Harm. eod. §. 18.

23) B ἀλλήλοις non habet.

24) B: συνιστᾷ.

25) Dig. L, 17, 30. — Harm. eod. §. 19.

26) P: βι. ε' τοῦ κώδ. τί. δ' διατ. α'. Recte. — Harm. eod. §. 20.

27) B: ἐτῶν.

ἐναντιοῦνται ἑαυτοῖς [28]), ὁ ἄρχων κρινέτω τὴν βελτίονα γνώμην, ἵνα, ἐὰν ἴσοι ὦσι [29]) γένει καὶ τρόποις οἱ δύο μνηστῆρες, ὃν οἱ συγγενεῖς βούλονται καὶ ὃν ἡ γυνὴ ἐπιλέγεται [30]), προτιμᾶται ἡ τῆς γυναικὸς κρίσις [31]).

κ΄. Ὁ πατὴρ προῖκα ἢ προγάμου δωρεὰν ὑπὲρ τῶν ἑαυτοῦ παίδων ἐρωτώμενος δοκεῖ ἐκ τῆς ἰδίας ὑποστάσεως ταύτην ποιεῖσθαι. ὅθεν εἰ πράγματα ἔχοι ὁ παῖς ἀπροσπόριστα, μένουσι σῷα [32]), μὴ δυναμένου τοῦ πατρὸς μετὰ ταῦτα λέγειν, ὡς ἐκ τούτων τὴν προῖκα ἢ τὴν προγάμου δωρεὰν ἐποιησάμην. ἐχρῆν γὰρ ἐν τῷ καιρῷ τῆς ἐπερωτήσεως ταῦτα προειπεῖν [33]).

κα΄. Οὐ δύνανται οἱ παῖδες διαλύειν τοὺς ὑπὲρ αὐτῶν γάμους εἰς βλάβην καὶ ζημίαν τῶν ὑπὲρ αὐτῶν τὰς προῖκας ἢ τὰς προγαμιαίας δωρεὰς ἐπιδεδωκότων [34]).

κβ΄. Καὶ κατὰ τὰ παρ' ἡμῶν ἀρτίως εὐσεβῶς νενομοθετημένα [35]) ὁ ἐν σωφροσύνῃ διάγων μὴ ἀναγκαζέσθω

sententia cognatorum. Quod si a se invicem dissentiant, praeses de meliori sententia judicet, ita ut, si pares genere ac moribus sint ambo proci, et quem cognati optant et quem mulier eligit, praeferatur mulieris judicium.

20. Pater dotem aut ante nuptias donationem pro liberis suis pollicitus, ex propria re eam facere videtur. Quare si filius bona habeat, quae patri non acquiruntur, salva manent, nec pater postea dicere potest, se ex illis dotem vel ante nuptias donationem fecisse: debuerat enim haec tempore promissionis praedicere.

21. Non possunt liberi matrimonia pro se contracta dissolvere in fraudem et damnum eorum, qui pro ipsis dotes aut ante nuptias donationes dederunt.

22. Et secundum ea, quae nos nuper pie sancivi-

28) L: ἀλλήλοις
29) B: ἴσω, duali.
30) B: ἐπιλέξεται.
31) Cod. V, 4, 18. — Harm. IV, 7, 9.
32) Apud Harm. legitur σοῦα.
33) Cod. V, 11, 7. — Harm. IV, 8, 29.
34) Cod. V, 17, 12. Nov. 22 cap. 19. — Harm. IV, 4, 22.
35) B: νομοθετηθέντα.

πρὸς γάμον ἐλθεῖν παρὰ τοῦ ἰδίου πατρὸς, κἂν ὑπεξούσιός ἐστιν [36].

κγ΄. Υἱὸς ὑπεξούσιος ἀσώτως πολιτευόμενος μὴ παραιτείσθω γάμον [37].

κδ΄. Καὶ τοῖς πρὸ ἡμῶν νομοθέταις γέγραπται νόμος, ὡς ἡ ὑπερβάλλουσα [38] τὸν κε΄ τῆς ἡλικίας χρόνον δύναται ἐπιῤῥίπτειν ἑαυτὴν ᾧτινι βούλεται, μηδαμῶς ἐκ ταύτης τῆς αἰτίας δυναμένου τοῦ ταύτης πατρὸς γράφειν ταύτην ἀπόκληρον [39]. διὰ τοῦτο θεσπίζομεν, ἵνα, εἰ καὶ ὁ πατὴρ αὐτῆς περὶ τὸν γάμον αὐτῆς ἐραθύμησεν, μὴ ἐξεῖναι αὐτῇ ᾧτινι βούλεται ἑαυτὴν [40] ἐπιῤῥίπτειν, ἀλλὰ μηνυέτω ἐν μὲν τῇ κωνσταντινουπόλει τῷ ἐπάρχῳ ἢ τῷ κοιαίστορι, ἐν δὲ ταῖς ἐπαρχίαις τῷ κατὰ τόπον ἄρχοντι, καὶ αὐτοὶ ἀναγκαζέτωσαν τοὺς αὐτῶν γονεῖς ταύτας ἐκγαμίζειν [41] κατὰ τὴν τῆς περιουσίας αὐτῶν δύναμιν [42].

mus, filius temperanter vivens a patre ne cogatur uxorem ducere, licet in ejus potestate sit.

23. Filiusfamilias luxuriose vivens ne recusato nuptias.

24. Et a legislatoribus, qui ante nos fuerunt, lex scripta est, posse eam, quae XXV aetatis annum excessit, cuicumque libuerit se projicere, neque ex hac causa ejus patrem eam exheredare posse. Ad hoc sancimus, etiamsi pater circa nuptias ejus negligens fuerit, non licere illi cuicumque velit se projicere, sed indicet hoc in urbe quidem Constantinopoli praefecto vel quaestori, in provinciis autem praesidi loci, iique cogant parentes earum eas elocare pro facultatium modo.

36) Interpretes laudant Dig. XXIII, 2, 21. Conferas etiam Cod. V, 4, 12. — Sed hoc et quod sequitur caput, a Basilio noviter introductum esse dicitur apud Leunclav. JGR I p. 87. II p. 134.

37) Harm. eod. §. 24.

38) B: ὑπερβᾶσα.

39) Innuit Nov. 115 cap. 3 §. 11: ad quem locum in Cod. Paris. 1367 fol. 16 invenio hoc scholion adscriptum: τοῦτο ἐκαινίσθη ὑπὸ τοῦ ἡμετέρου εὐσεβοῦς βασιλέως κατὰ τὸ μὴ ἑαυτὴν ἐπιῤῥίπτειν ᾧτινι βούλεται, κἂν ὑπερβῇ ἡ θυγάτηρ τοῦτον τὸν χρόνον, ἀλλὰ προσιέναι καὶ ἀναγγέλλειν περὶ τούτου τοῖς ἄρχουσιν.

40) C: ἐξεῖναι αὐτὴν ᾧτινι β. ἐπιῤῥ.

41) C: ταῦτα ἐγγ.

42) Harm. eod. §. 25. A Ba-

κε΄. Ἤδη μὲν οὖν τοῖς ἀρχαίοις γέγραπται νόμος καὶ πρόσγε παρὰ [43]) τοῦ εὐσεβεστάτου ἰουστινιανοῦ κεκύρωται, δι' οὗ καὶ μέχρι τετάρτου γάμου παρεκτείνεσθαι τὰ συνοικέσια τοῖς βουλομένοις· ἴσως καταστοχαζομένου, ὡς τοῖς πολλοῖς εἰκὸς τοῦτο συμβαίνει, τὸ ταχέως τὸ συνοικοῦν πρόσωπον αὐτοῖς [44]) ἀποβάλλεσθαι, ἢ καὶ νέοις ἔτι τοῦτο παθεῖν, καὶ οὐδὲν ἀνθίστασθαι [45]) πρὸς τὰς τῆς φύσεως ὁρμὰς, ὥστε τούτοις συμβαίνειν τῶν σωφρόνων μὲν γάμων ἀποτρέπεσθαι, φοιτᾶν δὲ εἴς τινας μίξεις ἀπηγορευμένας. ἐχρῆν δὲ καὶ ἡμᾶς ὡς τῆς αὐτῆς φύσεώς τε καὶ ἀσθενείας κεκοινωνηκότας ἐν τούτῳ τοῖς παλαιοῖς ἐμμεῖναι νόμοις [46])· ἀλλ' ὁρῶμεν θεῖον νόμον ἡμᾶς εἴργοντα. διὰ τοῦτο ἡ ἡμετέρα γαληνότης, ταῖς ἀνειμέναις τῶν ἐρώντων ἐπιθυμίαις ἐπιθεῖναι χαλινὸν βουλομένη, τοσοῦτον ἀπαγορεύει τὸ πρὸς τέταρτον συνοικέσιον ἀφικέσθαι τινὰ,

25. Jam quidem a veteribus lex lata et insuper a religiosissimo Justiniano confirmata est, per quam ad quartas etiam nuptias volentibus conjugia extendere licet: forte enim perpendebat, plurimis hoc naturaliter evenire, ut junctam sibi personam cito amittant, aut etiam juvenibus id iis accidat, nec queant sustinere naturae impetus, ita ut a pudicis quidem nuptiis abstineant, vetitos autem congressus frequentent. Oporteret sane etiam nos, utpote ejusdem naturae atque infirmitatis participes, hac in re veteribus inhaerere legibus; sed videmus divinam nos prohibere legem. Quapropter nostra serenitas, dissolutis amantium libidinibus frenum injicere cupiens, in tantum vetat quemquam ad quartum pervenire

silio hoc caput νεαρῶς introductum est: ideoque Novella constitutio Basilii esse dicitur in Leunclavii JGR II p. 135. — Auctor autem repetitae praelectionis τῆς ἐπιτομῆς τῶν νόμων (de anno, uti videtur, 920) sic ait tit. XXIII §. 7. 8: Ἡ ὑπερβᾶσα τὸν κε' τῆς ἡλικίας χρόνον δύναται ἐπιῤῥίπτειν ἑαυτὴν ᾧτινι βούλεται, εἰ ὁ πατὴρ αὐτῆς ἐραθύμησε περὶ τὸν γάμον, μηδαμῶς ἐκ ταύτης τῆς αἰτίας δυναμένου τοῦ ταύτης πατρὸς γράφειν αὐτὴν ἀπόκληρον. Κατὰ δὲ τὰ ἀρτίως διατεταγμένα μὴ ἐξέστω αὐτῇ ἐπιῤῥίπτειν ἑαυτὴν ᾧτινι βούλεται· ἀλλὰ μηνυέτω κ. τ. λ.

43) L παρά non habet.
44) B αὐτοῖς non habet.
45) B: οὐδὲ ἀνθίστανται.
46) B: λόγοις.

ὥστε καὶ τοὺς εἰς τρίτον ἐλθόντας τοῖς ἐκκλησιαστικοῖς παραπέμπει [47]) κανόσιν. ὥστε οὖν τὰ αὐτὰ δίκαια προβαίνειν καὶ ἐπὶ τοῦ τρίτου συνοικεσίου [48]), ὁπόσα καὶ ἐπὶ τοῦ δευτέρου. ἔστω νῦν πᾶσι κατάδηλον, ὡς εἴ τις τολμήσειε πρὸς τέταρτον γάμον τὸν οὐ γάμον ἐλθεῖν, οὐ μόνον ἀντ' οὐδενὸς ὁ τοιοῦτος νομιζόμενος γάμος λογισθήσεται, οὔτε οἱ ἐξ αὐτοῦ τεχθέντες παῖδες παῖδες γνήσιοι γνωρισθήσονται, ἀλλὰ καὶ ταῖς ποιναῖς τῶν μεμολυσμένων τοῖς τῆς πορνείας ῥυπάσμασι καθυποβληθήσεται, ἀπ' ἀλλήλων δηλονότι τῶν τοιούτων προσώπων διϊσταμένων [49]).

κϛʹ. Ἐπειδὴ παρὰ τοῖς παλαιοῖς ἀνειμένην εὕρομεν τὴν κοινωνίαν τῆς παλλακῆς πρὸς τὸν βουλόμενον αὐτῇ κοινωνεῖν, οὐκ ἔδοξεν ἡμῖν ἀμνημόνευτον ἐᾶσαι ταύτην τὴν νομοθεσίαν, ἵνα μὴ καταχραίνηται ἡμῶν ἡ πολιτεία γάμοις οὐκ εὐπρεπέσιν. ὅθεν κελεύομεν ἀπὸ τοῦ νῦν μηδενὶ ἐξὸν ὑπάρχειν, παλλακίδα ἐν τῷ ἰδίῳ οἴκῳ κατέχειν· μικρὸν γὰρ ἢ οὐδὲν διαφέρειν ἀπὸ της πορ-

conjugium, ut et eos, qui ad tertium processerint, ecclesiasticis subdat cauonibus: itaque eadem jura in tertiis obtineant nuptiis, quae etiam in secundis. Omnibus igitur notum sit, si quis ad quartas nuptias, quae nuptiae non sunt, procedere ausus fuerit, tales nuptias non solum nihili fore pendendas, neque natos ex iis liberos pro legitimis habendos, sed poenis etiam eorum, qui sordibus meretriciis sese polluunt, subjectum iri, talibus scilicet personis a se invicem separandis.

26. Quoniam apud veteres permissum invenimus concubinae consortium, si quis velit cum ea consuescere, nobis non visum est hanc legem sine mentione praetermittere, ne respublica nostra indecoris contaminetur nuptiis. Sancimus igitur, ex hoc tempore nemini licitum esse, concubinam in sua domo retinere: parum enim aut nihil a scortatione hoc differre censemus; sed

47) B: καθυποβάλλειν.
48) B: γάμου.
49) Harm. IV, 7, 33. — **Reitzius** notat: »Quinam imperatorum hoc constituerit, adhuc quaero.« — Ego vero Basilii constitutionem esse crediderim (cf. Leuncl. JGR I p. 86), repetitam postea a Leone in Nov. 90.

νείας νομίζομεν [50]). ἀλλ' εἰ βούλοιτο αὐτῇ κοινωνεῖν, γαμικὸν ποιείτω πρὸς αὐτὴν συνάλλαγμα κατὰ τὴν τοῦ νόμου ἀκρίβειαν. εἰ μέντοιγε ἀναξίαν αὐτῷ ταύτην κρίνοιτο γυναῖκα ἔννομον κεκλῆσθαι, μηδεμίαν πρὸς αὐτὴν κατὰ συνουσίαν ἐχέτω κοινωνίαν, ἀλλὰ ταύτην ἀποδιωκέτω, καὶ λήψοιτο, [51]) ἣν ἂν ἑαυτῷ κρίνοιτο λυσιτελές [52]). εἰ δὲ σωφρόνως βιοῦν αἱρεῖται, εὐκταῖον ἡμῖν τοῦτο [53]).

κζ΄. Μηδεὶς μυστικῶς στεφανούσθω, ἀλλὰ παρόντων πλειόνων. ὁ γὰρ τοῦτο τολμήσας ἐργάσασθαι [54]) σωφρονιζέσθω τιμωρούμενος, δηλονότι τοῦ ἱερέως, ὡς ἐν τοῖς ἀπρεπέσιν ἑαυτὸν παρεμβάλλοντος, τὰς ἀξίας εὐθύνας εἰσπραττομένου κατὰ τὴν τῶν ἐκκλησιαστικῶν κανόνων διάταξιν [55]).

si quis cum ea consuescere velit, connubialem cum ipsa faciat contractum secundum juris rigorem. Quod si illam indignam judicet quae ipsius uxor legitima audiat, nullam cum ea per concubitum consuetudinem habeat, sed eam expellat, et ducat, quam sibi judicarit convenire. Si vero continenter vivere malit, hoc nobis optabile est.

27. Nemo clanculum coronator, sed coram pluribus. Qui enim illud facere ausus fuerit, plectatur et puniatur: scilicet sacerdote etiam, utpote rebus indecentibus sese interponente, condignas poenas secundum ecclesiasticorum canonum sanctionem luente.

50) B: αὐτὸ νομ.
51) B: λαμβανέτω.
52) B: λυσιτελεῖν.
53) Est novella Basilii constitutio (Leuncl. JGR I p. 87): postea per Leonem Nov. 91 confirmata. — Harm. eod. §. 34.

54) B: κατατολμήσας ἐργάζεσθαι.

55) Hoc est a Basilio νεαρῶς sancitum. cf. Leunclavii JGR I p. 87. — Harm. IV, 4, 26.

ΤΙΤΛΟΣ ΠΕΜΠΤΟΣ.

Περὶ ἀκριβείας γάμου [1]).

α'. Τοῖς κληρικοῖς ἐπιτέτραπται νομίμους [2]) ἔχειν τὰς γυναῖκας [3]).

β'. Οἱ ψάλται καὶ οἱ ἀναγνῶσται δύνανται νομίμως γαμεῖν· οἱ δὲ ὑποδιάκονοι καὶ διάκονοι καὶ πρεσβύτεροι καθάπαξ κεκώλυνται. ὅθεν εἰ παρὰ ταῦτα γάμῳ κοινωνήσωσιν, ἐκπίπτουσι τῆς ἱερωσύνης καὶ τῆς ἀξίας αὐτῆς γυμνοῦνται [4]).

γ'. Ἡ κατὰ γνώμην τοῦ πατρὸς γάμον συναλλάξασα δύναται καὶ παρὰ γνώμην αὐτοῦ [5]) ἐπιμένειν τῷ γάμῳ, καὶ οὐ δοκεῖ προσκροῦσαι, ὡς εὔλογον [6]) αἰτίαν παρέχεσθαι [7]).

δ'. Ὁ αἰχμάλωτον ἀγοράσας καὶ ταύτῃ μιγεὶς ὡς γυναικὶ, ὡς προλήψει δοκῶν αὐτῇ συγχωρεῖν τὸ τίμημα, εἰς τὴν φυσικὴν εὐγένειαν αὐτὴν ἀνατρέχειν συγ-

TITULUS QUINTUS.

De rigore matrimonii.

1. Clericis permissum est, legitimas habere uxores.

2. Cantores et lectores legitimum possunt inire matrimonium. Sed hypodiaconi et diaconi et presbyteri omnino prohibentur. Unde si contra haec nuptias contraxerint, sacerdotio excidunt et dignitatem amittunt.

3. Quae voluntate patris matrimonium contraxit, potest etiam adversus patris voluntatem in conjugio permanere: neque videtur offendere, ut justam [exheredationis] causam praebeat.

4. Qui captivam emit, eique ut uxori miscetur, ex praesumtione videtur illi pretium remisisse, eamque

1) C: γάμων.
2) Alii: νομίμοις γάμοις ἔχειν τὰς γαμετάς.
3) Harm. IV, 5, 1.
4) Cod. I, 3, 44. Nov. 22 c. 42. — Harm. l. c. §. 2.
5) C: τοῦ πατρός.
6) R: προσκρούσεως εὔλ.
7) Cod. III, 28, 18. — Harm. l. c. §. 3.

χωρεῖ, καὶ τοὺς ἐξ αὐτῆς τικτομένους παῖδας νομίμους ἔχει [8]).

ε'. Ἡ γυνὴ τοῦ γάμου συνεστῶτος ἐν ἀπορίᾳ τοῦ ἀνδρὸς τὰ ὑποκείμενα πράγματα τοῦ ἀνδρὸς ὑπὲρ τῆς προγάμου δωρεᾶς καὶ τῆς προικὸς καὶ τῶν ἐξωπροίκων ἐκδικήσασα ἤγουν κατέχουσα, οὐ δύναται ταῦτα ἐκποιεῖν, ἀλλ' ἐξ αὐτῶν ἀναγκάζεται καὶ τὸν ἄνδρα καὶ τοὺς παῖδας ἀποτρέφειν [9]).

ς'. Εἴ τις ἄπορον γυναῖκα κατὰ τὴν τοῦ νόμου παρατήρησιν λάβοι καὶ ταύτης προτελευτήσοι, εἰ μὲν ἄχρι τριῶν ἔχοι παίδων ὁ ταύτης ἀνὴρ εἴτε ἐξ αὐτῆς εἴτε ἐξ ἑτέρου συνοικεσίου, τὸ τέταρτον μέρος τῆς οὐσίας τοῦ ἀνδρὸς λαμβάνει, οὕτω μέντοιγε ὥστε μὴ ὑπερβαίνειν τὴν τῶν ρ' τοῦ χρυσίου λιτρῶν ποσότητα. εἰ δὲ πλείονες εἴησαν [10]) *οἱ παῖδες, τοσοῦτον ἐπὶ* [11]) *τοῦ τοιούτου θέματος λαμβάνειν κελεύομεν τὴν γυναῖκα, ὅσον ἑνὶ τῶν παίδων ἁρμόζει, οὕτω δηλαδὴ ὥστε*

in naturalem ingenuitatem redire patitur, et liberos ex ea progenitos legitimos habet.

5. Mulier constante matrimonio, si vir inops sit factus, supposita viri bona pro donatione ante nuptias et dote et extradotalibus vindicans sive detinens, non potest ea alienare, sed ex iis cogitur et virum et liberos alere.

6. Si quis inopem uxorem secundum juris observationem duxerit atque ante eam decesserit, siquidem ad ternos usque liberos maritus habeat sive ex ipsa sive ex alio matrimonio, quartam partem bonorum mariti capit: ita tamen, ut ne C librarum auri quantitatem excedat. Sed si plures sint liberi, mulierem jubemus in hac specie tantum capere, quantum uni liberorum

8) Cod. VIII, 50, 13. — Harm. l. c. §. 4.

9) Al. *τρέφειν*, al. *ἐκτρ.* — Cod. V, 12, 29. — Harm. l. c. §. 5. (Apud Reitzium in nota.) — R addit in fine: *Ἰστέον, ὅτι σιωπηρῶς ὑπόκεινται τῇ γυναικὶ τὰ ἀνδρῷα πράγματα ἀπὸ τοῦ καιροῦ τοῦ γάμου, καὶ ἐὰν συμβῇ ἐκποιηθῆναι τὰ γυναικεῖα πράγματα, παρὰ τοῦ ἀνδρὸς ἀναδίδονται αὐτῇ.*

10) C: *ἦσαν.*

11) B: *ἐκ.*

χρῆσιν μόνην ἐπὶ τοῖς τοιούτοις πράγμασι τὴν γυναῖκα ἔχειν, τὴν δεσποτείαν δὲ ἐκείνοις τοῖς παισὶ φυλάττεσθαι, οὓς ἐξ αὐτοῦ τοῦ γάμου ἔσχεν. εἰ δὲ ἡ τοιαύτη γυνὴ παῖδας ἐξ αὐτοῦ μὴ ἔχοι, κελεύομεν καὶ δεσποτείας δικαίῳ ἔχειν αὐτὴν τὰ πράγματα, ἅπερ ἐκ τῆς τοῦ ἀνδρὸς οὐσίας εἰς αὐτὴν ἐληλύθασιν [12]).

ΤΙΤΛΟΣ ἝΚΤΟΣ.

Περὶ προγαμιαίας δωρεᾶς.

α΄. Ἡ μὴ δευτερογαμοῦσα μήτηρ καὶ πᾶς ἀνιὼν μὴ δευτερογαμῶν λαμβάνει πρὸς τῇ χρήσει τῶν γαμικῶν κερδῶν καὶ μέρος κατὰ δεσποτείαν ἑνὸς παιδός. τοῦτο δὲ ἐπὶ τῶν τελευτῇ καὶ οὐ διαζυγίῳ λυομένων γάμων. τοῖς δὲ παισὶν ἁρμόζει πᾶν γαμικὸν κέρδος ἐξ οἱασδήποτε λύσεως κατὰ δεσποτείαν, κἂν μὴ δευτερογαμήσωσιν οἱ γονεῖς αὐτῶν, οἵτινες τὴν χρῆσιν τῶν τοιούτων κερδῶν ἔχουσι τρέφοντες τοὺς αὐτῶν [1]) παῖδας [2]).

competit: ita scilicet, ut usumfructum solum in his rebus mulier habeat, proprietas autem illis liberis servetur, quos ex eodem matrimonio habuit. Si vero ejusmodi mulier liberos ex eo non habeat, jubemus eam etiam dominii jure res possidere, quae ex viri bonis ad eam pervenerunt.

TITULUS SEXTUS.

De antenuptiali donatione.

1. Mulier secundo non nubens et omnis ascendens secundas nuptias non contrahens praeter lucrorum nuptialium usumfructum etiam unius filii portionem jure dominii capit: scilicet si nuptiae fuerint morte solutae, non divortio. Liberis autem competit omne lucrum nuptiale quod ad proprietatem attinet, etiamsi parentes eorum nuptias non iteraverint, qui usumfructum horum lucrorum habent, liberos suos alentes.

12) Nov. 117 c. 5. — Harm. V, 8, 81.

1) C: αὐτούς.

2) Nov. 127 cap. 3. Nov. 98 cap. 1. — Harm. V, 8, 86.

β' [3]). Τῆς μητρὸς ἅπαξ εἰς δευτέρους γάμους ἐλθούσης, κέρδος εὐθὺς ἁπάντων τῶν παίδων τὴν δεσποτείαν [4]). τῆς προγαμιαίας δωρεᾶς γενέσθαι, καὶ μηδεμίαν ἄδειαν εἶναι τῇ μητρὶ τοὺς μὲν τῶν παίδων ἐπιλέγεσθαι τοὺς δὲ ἀτιμάζειν, διότι πάντας ὁμοῦ τοῖς δευτέροις ὕβρισε γάμοις. ὥστε καὶ ἐπὶ τοῦ παρόντος ἡ δεσποτεία τῆς προγαμιαίας δωρεᾶς ὅλη πρὸς τὴν παῖδα παραγενήσεται, τῆς χρήσεως παρὰ τῇ μητρὶ μέχρι περίεστι φυλαττομένης· καὶ εἰ μὲν ἡ μήτηρ προαπέλθοι, τῇ παιδὶ τῆς ὅλης προγαμιαίας δωρεᾶς ἁρμοζούσης· εἰ δὲ ἡ παῖς, μένειν [5]) μὲν παρὰ τῇ μητρὶ τὸ ἐκ τοῦ τῆς ἀπαιδίας συμφώνου [6]) κέρδος, τὸ δὲ λοιπὸν εἶναι τῆς παιδὸς, καὶ τελευτῶσαν τοῦτο παραπέμπειν εἰς τοὺς αὐτῆς κληρονόμους, εἴ τινες ἐκ τοῦ νόμου καλοῖντο. εἰ γὰρ οὐ παιδὶ τυχὸν, ἀλλά τινι τῶν ἔξωθεν ἡ μήτηρ, ἔτι δευτέρων ἄπειρος οὖσα γάμων, μοῖράν τινα τῆς προγαμιαίας δωρεᾶς ἤ τινα πράγματα ἐξ αὐτῆς ἢ πᾶσαν δωρήσηται [7]) ἢ κατὰ ἄλλον τυχὸν ἐκποιήσηται τρόπον, εἶτα ὕστερον εἰς ἀνδρὸς φοιτήσειε δευτέρου,

2. Matre semel ad secundas nuptias transeunte, ante nuptias donationis proprietas confestim omnibus liberis lucro cedat, neque ulla matri sit licentia alios quidem liberorum deligendi, alios vero aspernandi, quandoquidem omnes simul secundis nuptiis injuria adfecit. Atque adeo in praesenti casu tota donationis ante nuptias proprietas ad filiam perveniet, usufructu apud matrem donec superest remanente: et, siquidem mater ante eam moriatur, tota donatione ad filiam pertinente: sin filia, manebit apud matrem lucrum ex pacto: Si sine liberis, reliqua autem pars filiae competet, quae obiens ad suos eam heredes transmittet, si qui ex lege vocentur. Nam si non filiae forte, sed extraneo mater, secundarum adhuc expers nuptiarum, partem aliquam ante nuptias donationis aut nonnullas inde res aut totam donaverit vel alio forte modo alienaverit, ac postea se-

3) P praemittit rubricam: περὶ δευτερογαμούντων.
4) C verba τὴν δεσπ. non habet.
5) C: μένει.
6) R: ἐκ τῆς ἀπαιδίας τοῦ συμφ.
7) C: δωρήσεται.

πρόδηλον ὡς τῷ ἐπιγενομένῳ [8]) δευτέρῳ γάμῳ τὸ τῆς ἐκποιήσεως ἀνατραπήσεται· καὶ οὐδὲ αὐτὸ [9]) πᾶσι τρόποις, ἀλλ' ἐν μετεώρῳ καὶ τὰ [10]) τῆς ἐκποιήσεως καὶ τὰ τῆς ἀνατροπῆς μένει [11]). εἰ μὲν γὰρ μείναιεν περιόντες οἱ παῖδες, ἀνατραπήσεται καθάπαξ τὸ γενόμενον, τοῦ νόμου τὴν δεσποτείαν τῆς προγάμου δωρεᾶς εἰς τοὺς παῖδας ἄγοντος καὶ οὐδὲν ἐπιστρεφομένου τῆς γυναικὸς, εἴ τι πράξειεν ἐπὶ βλάβῃ τῶν παίδων. εἰ δὲ προτελευτήσαιεν ἅπαντες τῆς μητρὸς, μένειν τὸ συνάλλαγμα βέβαιον, οὐκ εἰς ὁλόκληρον, ἀλλὰ κατὰ [12]) τὸ ἐξ ἀπαιδίας σύμφωνον, καὶ κατά τινα μὲν μοῖραν ἔσται τὸ συνάλλαγμα βέβαιον, κατά τινα δὲ ἄκυρον ἀποφανθήσεται· τουτέστι κατὰ μὲν τὸ μένον [13]) παρὰ τῇ μητρὶ προφάσει τοῦ ἐξ ἀπαιδίας συμφώνου κρατήσει, κατὰ δὲ τὸ παραπεμπόμενον εἰς τοὺς τοῦ παιδὸς διαδόχους ἄκυρον ἔσται ὡς εἴγε ἡ μήτηρ μόνη τῷ παιδὶ διάδοχος εὑρεθείη, τὸ πᾶν αὖθις κύριον ἔσται [14]).

γ'. Θεσπίζομεν, τὰ ἄλλα πράγματα μετὰ τὴν προ-

cundo viro nupserit, manifestum est, alienationem sequutis secundis nuptiis subverti: nec tamen omni modo, sed et alienatio et subversio in suspenso manebit. Si enim liberi superstites exstent, omnino quod actum est rescindetur, lege proprietatem ante nuptias donationis in liberos transferente nec ullam mulieris curam gerente, si quid in fraudem liberorum egerit. Quodsi omnes ante matrem moriantur, contractus ratus manebit, non in totum, sed secundum pactum: Si sine liberis; et pro parte quadam contractus quidem erit ratus, pro parte irritus judicabitur: id est, in quantum apud matrem remanet ex pacto: Si sine liberis, validus erit: sed quantum ad id, quod ad filios successores transmittitur, invalidus. Itaque si sola mater filio successor existat, totus contractus erit ratus.

3. Sancimus, ut ceterae res, quae post ante nuptias

8) C et R: τὸ ἐπιγενόμενον. Praeterea apud R δευτέρῳ deest, et mox legitur: καὶ τὸ τῆς.
9) L: αὐτῷ.
10) L: τῷ.
11) R: μενεῖ.
12) C κατά non habet.
13) L: μέτρον
14) Nov. 2 c. 1. 2. — Harm. IV, 7, 10. 11.

γάμου δωρεὰν εἰς τοὺς παῖδας ἀφιγμένα, εἰ μὲν ὁ παῖς ἄῤῥην [15]) ἢ θήλεια τυχὸν διάθοιτο, κατὰ τὸν νόμον χωρεῖν ἐπὶ τοὺς γεγραμμένους κληρονόμους· ἐνταῦθα τῆς μητρὸς οὐ κωλυομένης γράφεσθαι παρὰ τοῦ παιδὸς κληρονόμου, ἀλλὰ καὶ τῶν κατὰ τῆς διαθήκης αὐτῇ διδομένων δικαίων, εἴγε ὁ παῖς αὐτὴν παραλείψειεν ἢ [16]) καὶ ἀλόγως ἀπὸ κληρονόμων [17]) ποιήσηται, φυλαττομένων· εἰ δὲ ἀδιάθετος τελευτήσειε, τῆς ἐκείνου μοίρας, εἰ μὲν ἔχοι παῖδας ἰδίους, ἐπὶ τοὺς ἰδίους παῖδας [18]) ἀφικνουμένης, εἰ δὲ οὐκ ἔχοι μὲν παῖδας ἰδίους, εἴη δὲ τῶν ἀδελφῶν ἡ κλῆσις, καὶ τῆς μητρὸς ἅμα τοῖς ἀδελφοῖς ἐπὶ τὸν κλῆρον ἐρχομένης καὶ τοῦτον ἰσχυρῶς ἐχούσης, εἴτε δευτέροις ὡμίλησε [19]) γάμοις εἴτε καὶ μή. τῆς δὲ προγαμιαίας δωρεᾶς εἰς δεύτερον ἐλθοῦσα συνοικέσιον, μηδὲ καθόσον κληρονομεῖ τοῦ παιδὸς, ἀπολαβέτω [20]). ἀλλὰ τοῦτο τῶν παίδων ἔστω μόνον [21]) κέρδος,

donationem ad liberos pervenerunt, si quidem filius aut filia forte testamentum fecerit, secundum leges ad heredes scriptos deferantur: quo casu nec mater a filio prohibebitur heres scribi, sed et concessa ei adversus testamentum jura, si a filio praeterita aut etiam injuste exheredata fuerit, servabuntur. Quod si intestatus moriatur, illius portio, si liberos proprios habet, ad proprios liberos pertinebit: sed si proprios liberos non habeat, sed fratres vocentur, etiam mater una cum fratribus ad hereditatem veniet eamque firmiter obtinebit, sive secundas inierit nuptias sive non. Ex antenuptiali vero donatione, si ad secundas venerit nuptias, ne tantum quidem, in quantum filio heres existit, capiat. Sed hoc liberorum erit solum lucrum, ut quod

15) Omnes ἄῤῥεν ἢ θήλεια. Harm.: ἄῤῥεν ἢ θῆλυ

16) C: παραλείψῃ ἐν ῇ καί. R: ἡ παῖς αὐτὴν παραλίποιεν ἢ ἀλ.

17) L: ἀποκληρονόμον. R: ἀπόκληρον

18) B: ἐπ' ἐκείνους. — Ceterum nota ἀνακόλουθα haec esse. Dicere enim oportebat: τὴν ἐκείνου μοῖραν — ἀφικνεῖσθαι, — καὶ τὴν μητέρα — ἔρχεσθαι καὶ — ἔχειν. Scilicet omnia pendent a verbo θεσπίζομεν. Anacoluthi causam praebuerunt genitivi absoluti, qui praecedunt.

19) B: ὡμιλήσειε.

20) B: ἀπολαυέτω.

21) B: μόνων ἔστω.

αὐτοῖς παρὰ τοῦ νόμου δεδομένον, καὶ μὴ δοκοῦν εἶναι μέρος τοῦ κλήρου τοῦ παιδὸς, ἀλλ' ἔτι τῆς προγαμιαίας δωρεᾶς οὐκ ἀποβαλὸν τὴν φύσιν [22]).

δ'. Εἰ δέ τινες τοῖς ἔμπροσθεν οὐκ ἀρκεσθέντες γάμοις καὶ πρὸς δευτέρους ἔλθοιεν, εἰ μὲν οὖν ἄπαιδες μείνοιεν [23]) ἐκ τῶν προτέρων ἢ καὶ ἐξ ἀμφοτέρων τῶν γάμων [24]), οὐδεμία πολυπραγμοσύνη περὶ τὰ μέτρα [25])· ἀλλὰ ἄνδρες μὲν ἀπελεύσονται παντοίως πάσης παρατηρήσεως ἐλεύθεροι, γυναιξὶ δὲ τοῦτο [26]) μόνον ἐπικείσεται δέος, τὸ μὴ πρὸ τοῦ ἐνιαυσιαίου χρόνου πρὸς δεύτερον ἐλθεῖν συνοικέσιον, ἢ γινώσκειν, ὡς, εἴ τι τοιοῦτον πράξαιεν καὶ ἀώρους συναλλάξαιεν γάμους, ὑφέξουσι ποινάς· ἄλλας μὲν, εἴπερ ἄπαιδες ἐκ τῶν προτέρων ὦσι συνοικεσίων; μείζους δὲ, εἰ καὶ παῖδες ὑπεῖεν. εἰ μὲν γὰρ οὐχ ὕπεστι [27]) γονὴ, τὸ τῆς ἀτιμίας [28]) εὐθὺς ἀκολουθήσει, καὶ ἔσται παντοίως ἡ γυνὴ

ipsis a lege datum est, nec pars hereditatis filii esse, sed adhuc naturam antenuptialis donationis retinere videtur.

4. Quod si qui prioribus haud contenti nuptiis etiam ad secundas venerint, siquidem liberos non susceperint ex priori vel etiam ex utroque matrimonio, nihil anquirimus circa modos: sed viri quidem omni omnino observatione liberi abibunt, mulieribus autem solus hic imminebit metus, ut ne intra annuum tempus ad secundas transeant nuptias: aut sciant se, si quid tale fecerint et intempestivum contraxerint matrimonium, poenas subituras: alias quidem, si ex anterioribus nuptiis liberos non habeant, majores autem, si et liberi extent. Nam si proles nulla est, infamia statim sequetur, et mulier propter nuptiarum festinationem omnino

22) Nov. 2. cap. 3. — Harm. l. l. §. 14. 15.

23) C: μένοιεν.

24) Verba ἢ καὶ ἐξ ἀμφοτ. τῶν respuit Reitzius: nec agnoscunt ea Codices Epanagoges, quam vocant, auctae (tit. XVII §. 6). In reliquis tamen omnibus habentur.

25) Sic omnes: item Epanagoge aucta l. l. In Novella est: περὶ τὰ δεύτερα.

26) C: οὐ.

27) C: ὑπέστη. An rectius?

28) Antiquissimi Codices C et L legunt: τὸ τῆς αἰτίας.

διὰ τὴν τῶν γάμων σπουδὴν ἠτιμασμένη [29]), καὶ οὐ λήψεταί τι τῶν παρὰ τοῦ προτέρου καταλελειμμένων αὐτῇ συνοικεσίου, οὔτε ἀπολαύσει [30]) τῆς προγαμιαίας δωρεᾶς, οὐδὲ τῷ συνοικοῦντι κατὰ δεύτερον γάμον περαιτέρω τῆς τρίτης τῆς οἰκείας περιουσίας ἐπιδώσει μοίρας, οὐ μὴν οὐδὲ τῆς ἔξωθεν αἰσθήσεται φιλοτιμίας, οὐδὲ λήψεται παντελῶς παρ' οὐδενὸς τῶν ἔξωθεν, οὐ κλῆρον, οὐδὲ ληγάτον, οὐ τὴν μετὰ θάνατον δωρεάν· ἀλλὰ ταῦτα ἐλεύσεται ἢ μενεῖ [31]) παρὰ τοῖς κληρονόμοις τοῦ τελευτήσαντος ἢ συγκληρονόμοις αὐτῆς, εἴγε ἠδύνατο [32]) κληρονομεῖν ὅλως· οἷα αὐτῆς οὐδ' ὁτιοῦν ὄφελος ἐχούσης, ἀλλ' εἰ γεγραμμένοι καὶ ἕτεροι τύχοιεν κληρονόμοι εἴτε καὶ ἐξ ἀδιαθέτου καλοῖντο, πρὸς ἐκείνους ἐλεύσεται τὰ τῇ τοιαύτῃ γυναικὶ καταλελειμμένα· οὐ γὰρ τὸ δημόσιον αὐτὰ οἰκειώσεται, μήποτε [33]) δόξωμεν τὰ τοιαῦτα σωφρονίζοντες τῆς τοῦ δημοσίου προνοεῖν ὠφελείας. ἀλλ' οὕτω μὲν τὰ παρὰ [34]) τῶν ἔξωθεν αὐτῇ καταλελειμμένα πρὸς ἑτέρους χωρήσει· τὰ δέ γε παρὰ τοῦ πρότερον συνοικήσαντος ἀφίξεται παρ' αὐ-

infamis erit, neque quidquam eorum capiet, quae ei ex priori relicta erant conjugio, neque fruetur antenuptiali donatione, neque secundo marito plus triente bonorum suorum dare poterit: quin nec extraneorum sentiet benignitatem, nec quidquam omnino ab ullo extraneorum capiet: sed haec devenient aut manebunt apud heredes defuncti aut ipsius coheredes, si modo omnino heres esse poterat: ita ut ipsa nullam inde utilitatem habeat, sed si alii quoque heredes forte scripti sint sive etiam ab intestato vocentur, ad illos ea, quae huic mulieri sunt relicta, perveniant; neque enim fiscus ea vindicabit, ne videamur talia sancientes fisci commodis prospicere. Et sic quidem quae ab extraneis ei relinquuntur, ad alios devenient; quae vero a priori marito, ei

29) B: ἠτιμωμένη.

30) C: ἀπολύσει.

31) Sane cum Reitzio corrigenda erat depravata lectio: εἰ μὲν εἶεν, quam tamen constanter omnes Prochiri. Epanagoges, nec non Harmenopuli Codices exhibent. Nam: ἐλεύσεται παρὰ τοῖς κληρ. ferri non poterat.

32) R: αὐτοῖς, εἴγε ἀδύνατον.

33) R: μηδέποτε.

34) In omnibus παρά deest.

τῆς ἀφαιρούμενα πρὸς τὰ δέκα πρόσωπα τῆς τοῦ καταλιπόντος ἀνδρὸς συγγενείας, τουτέστιν ἀνιόντας καὶ κατιόντας καὶ τοὺς ἐκ πλαγίου μέχρι τοῦ [35]) δευτέρου βαθμοῦ, τῶν βαθμῶν ἐπὶ τῆς οἰκείας φυλαττομένων τάξεως· ὧν οὐχ ὑφεστώτων ἐπὶ τὸ ταμιεῖον ἐλεύσεται. ἀλλ' οὐδὲ περαιτέρω κληρονομίαν ἐξ ἀδιαθέτου τῶν οἰκείων αὐτῆς ὑπελεύσεται συγγενῶν, ἀλλὰ μέχρι τρίτου βαθμοῦ θεωρουμένου πανταχόθεν στήσεται μόνον τὰ τῆς διαδοχῆς αὐτῇ, οἱ πορρωτέρω [36]) δὲ ὄντες ἑτέρους ἕξουσι κληρονόμους. εἰ δὲ παῖδες ὑπεῖεν, ἔστι μὲν αὐτῇ βασιλέως ὑπὲρ τῆς ἀτιμίας δεῖσθαι, οὐ μὴν ὄφελός τι τῶν ἀντιγραφομένων ἔχειν, πλὴν εἰ μὴ βούληται [37]) τὴν ἐκ τῆς βασιλείας ἔχειν ὠφέλειαν καὶ τῶν ἄλλων ἀπαλλαγῆναι ποινῶν, τοῖς ἐκ τοῦ προτέρου γάμου παισὶ τὴν ἡμίσειαν τῆς οἰκείας περιουσίας δωρουμένη μοῖραν καθαρῶς, αἱρέσεως πάσης χωρὶς, καὶ οὐδὲ τὴν χρῆσιν παρακατέχουσα [38]), ἀλλὰ πάσης τῆς οὐσίας τῆς ὅτε πρὸς τοὺς δευτέρους ἐφοίτα γάμους κατὰ τὴν

erepta devenient ad decem personas ex cognatione viri qui illa reliquit, id est ascendentes, descendentes et collaterales usque ad secundum gradum, gradibus in suo servatis ordine: quibus haud extantibus ad fiscum devolventur. Verum neque hereditatem cognatorum suorum ulterius ab intestato consequetur, sed intra tertium gradum undique observandum successionis jura ei arctabuntur: et qui ultra sunt, alios habebunt heredes. Si vero liberi subsint, licet ei quidem infamiam deprecari a principe, sed nullum ex rescriptis habebit emolumentum, nisi forte malit ex principali indulgentia aliquam consequi utilitatem ceterisque liberari poenis, superioris matrimonii liberis dimidiam bonorum partem pure donando, citra ullam conditionem et ne usufructu quidem retento, sed omnium bonorum, quae quum ad secundas nuptias transiret habebat, semissem, uti dixi-

35) Verbum τοῦ B non habet.

36) R: πόῤῥω.

37) R: εἰ μὲν βούλεται, quod nescio quomodo Reitzius ad Harmenopulum praeferre potuerit: nam sic quae sequuntur ἀνακόλουθα forent.

38) C et L: παρακατέχουσαν.

ἡμίσειαν, καθάπερ ἔφημεν, ἐξισταμένη μοῖραν τοῖς ἔμπροσθεν γενομένοις παισίν. καὶ διαιρήσονται τοῦτο οἱ παῖδες ἅπαντες ἐξ ἴσης 39), *καὶ παῖδας μὲν ἔχοντες εἰς τοὺς ἑαυτῶν παραπέμψουσι παῖδας· εἰ δὲ οὐκ ἔχοιεν, τὰ τοῦ τελευτήσαντος ἢ τῶν τελευτησάντων μέρη λήψονται πάντως ἀναλόγως οἱ τούτων ἀδελφοί· εἰ δὲ πάντες ἀπέλθοιεν, ἐχέτω παραψυχὴν τῆς ἑαυτῆς δυσκληρίας ἡ μήτηρ τὸ ταῦτα πάλιν ἀναλαβεῖν. καὶ ταῦτά φαμεν, εἴπερ ἀδιάθετοι τελευτήσαιεν οἱ παῖδες. οὐ* 40) *γὰρ ἐπὶ τοῖς ἅπαξ γενομένοις ὑπ' αὐτῶν εἴρξομεν αὐτοῖς* 41) *διαθήκας γράφειν, ἢ περιόντας ὃν βούλονται ταῦτα τεθῆναι τρόπον* 42).

έ. Εἰ *δὲ καὶ ἀναμείνοι μὲν τὸν χρόνον ἡ γυνὴ καὶ αὐτὴ* 43) *διαφύγοι τὰς εἰρημένας ποινὰς, ἐπὶ δεύτερον δὲ ἀφίκοιτο συνοικέσιον τὸν πρότερον ἀμελήσασα γάμον* 44), *εἰ μὲν οὐκ ἔχοι παῖδας, εἰρήσθω γὰρ καὶ* 45) *αὖθις, ἀκίνδυνον ἅπαν τὸ ἐντεῦθεν. εἰ δὲ ὑπείη γονὴ, καὶ παῖδας ὁ νόμος ἐντεῦθεν ἀτιμασθέντας ἴδοι, τηνι-*

mus, liberis antea susceptis cedendo. Tunc enim hanc partem omnes liberi ex aequo partientur, et qui horum liberos habent, ad suos transmittent liberos: si non habent, mortui aut mortuorum portiones horum fratres pro rata capient: si vero omnes decesserint, calamitatis suae mater hoc habeat solatium, ut ea recipiat. Atque haec dicimus, ubi liberi obierint intestati: nec enim super iis, quae semel iisdem acquisita sunt, prohibebimus eos testamenta facere, aut superstites de iis quocunque velint modo disponere.

5. Sed etsi mulier annum exspectaverit dictasque poenas effugerit, ad secundas vero transierit nuptias anterius adspernata matrimonium, siquidem liberos non habeat, — dicatur enim et iterum, — omnis exinde periculi sit exsors. Si vero proles subsit, et lex li-

39) R: *ἐξίσου.*
40) R: *οὐδέ.*
41) R: *αὐτούς.*
42) R: *τρόπον ταῦτα διαθῆναι.* — Nov. 22 cap. 22. — Harm. l. c. §. 20 — 23.
43) Invitis Codicibus Reitz corrigit: *ταύτῃ.*
44) B: *τῶν προτέρων — γάμων.*
45) Vocem *καὶ* R non habet.

καῦτα πάσης φιλοτιμίας παρὰ τοῦ ἀνδρος εἰς αὐτὴν ἐλθούσης κατὰ τὸ τῆς δεσποτείας ἀφαιρεῖται μέρος, μόνην αὐτῇ καταλιπὼν τὴν χρῆσίν τε καὶ ἐπικαρπίαν. καὶ ταῦτα νενομοθετήσθω [46]) καὶ ἐπὶ τῆς προγαμιαίας δωρεᾶς καὶ ἐπὶ πάσης ἑτέρας φιλοτιμίας παρὰ τοῦ ἀνδρὸς εἰς αὐτὴν ἐλθούσης [47]), ἢ καὶ ἐκ διαθήκης ἢ καὶ τῆς μετὰ θάνατον δωρεᾶς, εἴτε ἐνστάσεως εἴη μέρος εἴτε πρεσβεῖον [48])· καὶ οἱ παῖδες αὐτὰ λήψονται κατὰ δεσποτείαν κατὰ τὸν καιρὸν εὐθὺς, καθ' ὃν ἡ μήτηρ συνῴκησεν ἄλλῳ [49]).

ϛ'. Καὶ ταῦτα κοινὰ γυναικὸς καὶ ἀνδρὸς ἐπιτίμια κείσθω, τοῦ μὲν ἐπὶ τῇ προικὶ, τῆς δὲ ἐπὶ τῆς πρὸ γάμου δωρεᾶς· ὅτι περ οὐδὲ ἐκποίησιν οὐδεμίαν ἐφίησι τοῖς γονεῦσιν [50]) ἐπὶ τοῖς τοιούτοις οὐδὲ ὑποθήκην, ἀλλὰ κἂν εἴ τι πράξαιεν οἱ γονεῖς, εὐθέως [51]) τὴν ἑαυτῶν ὑποτιθέασιν αὐτοῖς περιουσίαν, οὐχ ὥστε κωλύειν

beros inde videat despectos, tunc omni eam liberalitate a viro in ipsam profecta, quantum ad proprietatis partem, privat, solum usum et fructum ei relinquens. Eadem sancita sunto et in antenuptiali donatione et in omni alia liberalitate a viro ad ipsam perveniente, sive inter vivos a marito ei facta, sive ex testamento, sive mortis causa, sive institutionis sit portio, sive legatum: atque ea liberi proprietatis jure eo ipso statim tempore accipient, quo mater cum alio viro cohabitavit.

6. Haeque poenae et mulieri et viro communes sunto, huic in dote, illi in ante nuptias donatione; scilicet nullam omnino in his alienationem neque oppignerationem parentibus lex permittit, sed et si quid tale parentes fecerint, statim sua ipsorum bona illis obli-

46) B: νομοθετείσθω.

47) B: αὐτῇ γενομένης. — Harm.: εἰς αὐτὴν γεν.

48) B: πρεσβείων. M addit: καὶ γενικῶς εἰπεῖν ἅπας αὐτὴν ἐπιλείψει δεσποτείας τρόπος ἐπὶ τοῖς παρὰ τοῦ προτέρου ἀνδρὸς εἰς αὐτὴν ἀφιγμένοις. Ita in Novella.

49) Nov. 22 c. 23. — Harm. l. c. §. 24.

50) B addit: ὁ νόμος. Facilior sane, sed eo ipso suspecta lectio: potius substantivum ὁ νόμος inferius positum huc trahendum est.

51) B: εὐθύς.

τοὺς γονεῖς ἑαυτοῖς [52]) *τι πράττειν ὧν βούλονται, αἰσχύνεται γὰρ ὁ νόμος σωφρονιστὰς τοὺς παῖδας τοῖς γεννήσασιν ἐπιστῆσαι* [53]), *ἀλλ' ἐκείνους* [54]) *μὲν ἐρυθριᾷ, διαπειλεῖ δὲ τοῖς λαμβάνουσιν ὡς οὐδὲν αὐτοῖς τολμηθὲν* [55]) *ὀνήσει ἐκδικήσουσι γὰρ αὐτὰ πάντως οἱ παῖδες, κληρονόμοι τε αὐτῶν καὶ διάδοχοι, παρὰ κληρονόμων ἐκείνων καὶ διαδόχων, οὐκ ἄλλως ἀποκλειόμενοι πλὴν εἰ τριακονταέτης παρέλθοι χρόνος καὶ ἡ κατοχὴ κυρίους τοὺς λαβόντας καταστήσοι* [56]), *ἀρχομένου τοῖς παισὶ τοῦ χρόνου τρέχειν ἐξ οὗπερ αὐτεξούσιοι φανεῖεν ὄντες ἢ γενόμενοι, πλὴν εἰ μή τις ἄνηβος ἡλικία προσβοηθήσειεν ἔτι* [57]). *ἐλεύσεται δὲ τὰ τοιαῦτα τῶν κερδῶν εἰς τοὺς παῖδας ἅπαντας τοὺς ἐκ τοῦ προτέρου γάμου* [58]).

gant, non ut prohibeat parentes quominus ipsi faciant quod velint, — namque erubescit lex filios genitoribus constituere castigatores, — sed illos quidem pudore afficit, accipientibus autem minatur, nihil iis profuturum, si id ausi fuerint accipere; omnino enim liberi ea vindicabunt horumque heredes et successores, ab illorum heredibus atque successoribus, neque aliter excludentur, nisi quum triginta annorum spatium praetercurrerit et possessio accipientes dominos constituerit, incipiente hoc tempore liberis currere, ex quo sui juris esse aut facti videbuntur, nisi pupillaris adhuc aetas eos adjuvet. Omnia autem haec lucra ad omnes liberos ex priore matrimonio pervenient.

52) B: *ἐπ' αὐτοῖς.*
53) L: *ἐπιστῆναι.*
54) B: *ἐκείνοις.*
55) B: *τὸ ληφθέν.* Sic vulgo.
56) B: *ποιήσει.*
57) M: *ἡλικίας — ἔτει.*
58) Nov. 22 cap. 23. 24. 25. — Harm. eod. §. 25. 26 pr.

ΤΙΤΛΟΣ ἙΒΔΟΜΟΣ.

Περὶ κεκωλυμένων γάμων.

α΄. Ἡ συγγένεια ὄνομά ἐστι γενικόν. διαιρεῖται δὲ εἰς τρία· εἰς ἀνιόντας καὶ κατιόντας καὶ τοὺς ἐκ πλαγίου. καὶ ἀνιόντες μὲν [1]) εἰσὶν οἱ ἡμᾶς γεγεννηκότες, οἷον πατὴρ, μήτηρ, πάππος, μάμμη, καὶ οἱ ἔτι τούτων ἀνώτεροι. κατιόντες δὲ οἱ ἐξ ἡμῶν γεννώμενοι, οἷον υἱὸς, θυγάτηρ, ἔγγονος, ἐγγόνη, καὶ οἱ ἔτι τούτων κατώτεροι. ἐκ πλαγίου δὲ οἱ μήτε ἡμᾶς γεγεννηκότες μήτε ἐξ ἡμῶν γεννώμενοι, τῆς δὲ αὐτῆς γονῆς καὶ ῥίζης ἡμῖν κεκοινωνηκότες, οἷον ἀδελφὸς, ἀδελφὴ, θεῖος, θεία, ἀνεψιὸς, ἀνεψιὰ, ἐξάδελφος, ἐξαδέλφη, καὶ οἱ ἐκ τούτων καταγόμενοι. ἑκάστη δὲ τάξις συγγενείας ποικίλους ἔχει καὶ διαφόρους βαθμούς. ἀλλ' ἐπὶ μὲν τῶν ἀνιόντων καὶ κατιόντων ἁπλουστέρα τις καὶ εὐχερὴς ἡ κατάληψις τῶν βαθμῶν. ἕκαστον γὰρ τούτων των προσώπων βαθμὸν ἀποτελεῖ, καὶ ἁπλῶς ὅσαι γεννήσεις τοσοῦτοι καὶ βαθμοί. δυσχερεστέρα δὲ

TITULUS SEPTIMUS.

De prohibitis nuptiis.

1. Cognatio nomen est generale. Dividitur autem trifariam: in ascendentes et descendentes et ex latere venientes. Et ascendentes quidem sunt, qui nos genuerunt: ut pater, mater, avus, avia, quique his superiores sunt. Descendentes autem, qui ex nobis sunt geniti: ut filius, filia, nepos, neptis, quique his sunt inferiores. Ex latere autem venientes sunt, qui neque nos genuerunt neque a nobis geniti sunt, sed eandem stirpem et radicem nobiscum communem habent: veluti frater, soror, thius, thia, fratris sororisve filius et filia, consobrinus, consobrina, quique ex his descendunt. Quisque autem cognationis ordo varios habet ac diversos gradus. Sed in ascendentibus quidem et descendentibus simplicior et facilis est graduum perceptio: harum enim personarum unaquaeque absolvit gradum, et simpliciter quot generationes, tot sunt gradus. Per-

1) In C μέν deest.

καὶ οὐκ εὐκατάληπτός ἐστιν ἡ τῶν ἐκ πλαγίου βαθμῶν εὕρεσις. δεῖ γὰρ ἡμᾶς οὐκ εὐθέως τρέχειν ἐπὶ τὸ ἐκ πλαγίου πρόσωπον, ἀλλὰ πρότερον ποιεῖσθαι τὴν ἀνάβασιν ἐπὶ τοὺς ἀνιόντας, μέχρις οὗ ἐπιστῶμεν ἐκείνῳ τῷ αἰτίῳ της γεννήσεως τοῦ ἐκ πλαγίου, εἶτα τοῦτο εὑρόντας κατιέναι ἐπὶ τὸ ζητούμενον πρόσωπον τοῦ ἐκ πλαγίου [2]), καὶ οὕτως πάσας ἀριθμεῖν τὰς γεννήσεις τὰς συναγομένας, τοῦτο μὲν ἐπὶ τῆς ἀνόδου, τοῦτο δὲ καὶ ἐπὶ τῆς καθόδου. ἑκάστην γὰρ γέννησιν ἐν ἰδιάζοντι τάττων βαθμῷ ποιοῦ τὸν ἀριθμόν. καὶ ἐπὶ μὲν κατιόντων [3]) εὐχερὲς τοῦτο. οἷον ὁ υἱός μου πόστου [4]) ἔστι βαθμοῦ; ἐγὼ [5]) ἔτεκον· ἰδοὺ μία γέννησις ἕνα βαθμὸν ἀπετέλεσεν· οὐκοῦν [6]) πρώτου μου [7]) ἔστι βαθμοῦ. ὁ ἔγγονος πόστου; ἐγὼ ἐγέννησα τὸν υἱόν, ὁ υἱὸς τὸν ἔγγονον· ἰδοὺ δύο γεννήσεις δύο βαθμοὺς ἀπετέλεσαν· οὐκοῦν ὁ ἔγγονός ἐστι δευτέρου βαθμοῦ. τὸ αὐτὸ καὶ ἐφεξῆς ἐπὶ προεκγόνου καὶ ἀπεκγόνου. ὁμοίως

plexior autem neque perceptione tam facilis est ex transverso graduum inventio. Neque enim nos statim oportet ad personam collateralem transcurrere, sed ante ascendere ad superiores, donec ad ipsum auctorem hujus collateralis cognationis perveniamus, eoque invento deinde relabi ad personam collateralem, de qua quaeritur, et ita omnes collectas generationes numerare, tam in ascensu, quam in descensu. Unamquamque enim generationem in singulari collocans gradu numerum collige. Et in descendentibus quidem hoc facile est; veluti filius meus quoto mihi est gradu? Ego eum genui: ecce una generatio unum gradum confecit: igitur primo mihi est gradu. Nepos quoto? Ego filium genui: filius nepotem: ecce duae generationes duos gradus confecerunt: itaque nepos secundo est gradu. Idem est deinceps in pronepote et abnepote. Similiter etiam in

2) Verba: εἶτα — πλαγίου in R desiderantur.

3) B: τῶν κατ.

4) C: πόσου. Sed infra ubivis πόστου habet.

5) C: λέγω pro ἐγώ. Forsan: λέγω· ἐγώ.

6) R: ὥστε οὖν.

7) Reitz: μοι.

καὶ ἐπὶ τῶν ἀνιόντων. ὁ πατὴρ πόστου ἐστὶ βαθμοῦ; ἐμὲ ἐγέννησεν ὁ πατήρ· ἰδοὺ μία γέννησις ἕνα βαθμὸν ἀπετέλεσεν· ὥστε οὖν πρώτου μου ἐστὶ βαθμοῦ. ὁ πάππος πόστου; ἐμὲ ὁ πατὴρ ἐγέννησε, τὸν πατέρα ὁ πάππος· ἰδοὺ δύο γεννήσεις δύο βαθμοὺς ἀπετέλεσαν· ἐστὶν οὖν ὁ πάππος δευτέρου βαθμοῦ. τὸ αὐτὸ καὶ ἐπὶ μητρὸς καὶ μάμμης καὶ πάντων τῶν ἀνιόντων ἀῤῥένων καὶ θηλειῶν. ἐπὶ δὲ τῶν ἐκ πλαγίου, ὡς εἴρηται, δεῖ ἀνιέναι ἐπὶ τὸ τῆς συγγενείας αἴτιον πρόσωπον τὰς γεννήσεις ἀριθμοῦντας [8]), καὶ πάλιν κατιέναι ψηφίζοντας τὰς γεννήσεις, ἕως οὗ ἔλθωμεν εἰς τὸ πρόσωπον, περὶ οὗ ἡ ζήτησις. εἰ γάρ τίς σε ἐρωτήσῃ, ὁ ἀδελφὸς πόστου σοί [9]) ἐστι βαθμοῦ, λέγε δευτέρου. διὰ τί; ἀνέρχῃ [10]) πρὸς τὸν πατέρα· ἰδοὺ μία γέννησις ἀπὸ τοῦ πατρὸς εἰς σὲ ἕνα βαθμὸν ἀπετέλεσεν. εἶτα ἐπειδὴ εὗρες τὸ αἴτιον τῆς γεννήσεως πρόσωπον, κάτελθε πρὸς τὸν ἀδελφὸν προστιθεὶς ἐνταῦθα ἑτέραν γέννησιν· ἰδοὺ δύο γεννήσεις δύο βαθμοὺς ἀπετέλεσαν [11]). οὐκοῦν καλῶς

ascendentibus. Pater quoto est gradu? Pater genuit me: ecce una generatio unum absolvit gradum: adeoque primo mihi est gradu. Avus quoto? Me pater genuit, patrem avus: ecce duae generationes duos gradus absolverunt: ergo avus secundo gradu est. Idem est et in matre et avia omnibusque ascendentibus tam maribus quam feminis. At in collateralibus, ut dictum est, oportet nos ad auctorem cognationis generationes enumerantes ascendere, et rursus descendere numerando generationes, donec ad eam personam perveniamus, de qua quaeritur. Si quis enim te roget, frater tuus quoto est gradu? responde, secundo. Ascende enim ad patrem: ecce una generatio a patre ad te unum absolvit gradum. Tum quandoquidem auctorem generis invenisti, descende ad fratrem, addens hic alteram generationem: ecce duae generationes duos effecerunt gradus. Itaque recte fuit

8) Unus L ἀριθμοῦντας habet: reliqui ἀριθμοῦντα: mox omnes ψηφίζοντα. Illic vero L sequutus sum: hic ψηφίζοντας ex conjectura reposui, propter sequens ἔλθωμεν.

9) L σοι non habet.

10) R: ἀνέρχου.

11) R hic addit: ἐστὶν οὖν ὁ ἀδελφὸς δευτέρου βαθμοῦ.

εἴρηται, ὅτι ὁ ἀδελφὸς δευτέρου ἐστὶ βαθμοῦ. πάλιν ἐάν τίς σε ἐρωτᾷ [12]), ὁ θεῖος πόστου ἐστὶ βαθμοῦ; λέγε ὅτι τρίτου. ἀνάγκη γάρ σε ἀνιέναι ἐπὶ [13]) τὸν σὸν πατέρα καὶ λέγειν· ἐμὲ ἐγέννησεν [14]) ὁ πατὴρ, τὸν πατέρα ὁ πάππος· ἰδοὺ δύο γεννήσεις. ὁ αὐτὸς πάππος τὸν ἐμὸν θεῖον· ἰδοὺ τρεῖς γεννήσεις τρεῖς ἀπετέλεσαν βαθμοὺς, ὥστε τρίτου μοί ἐστι βαθμοῦ ὁ θεῖος. οὕτω καὶ ἐπὶ τῶν ἑξῆς τῷ αὐτῷ προσέχων κανόνι δύνασαι [15]) καταλαβεῖν τοὺς βαθμούς [16]).

β'. Τοὺς κεκωλυμένους γάμους ὁρίζομεν οὕτως. ἐπὶ μὲν γὰρ τῶν ἀνιόντων καὶ κατιόντων εἰς ἀπέραντον ὁ γάμος κεκώλυται, κἂν μὴ ἐξ ἐννόμων ὦσι γάμων. οὐ δύναται γάρ τις τὴν ἰδίαν μάμμην λαμβάνειν, οὐδὲ τὴν ἐγγόνην, εἴτε φυσικαί εἰσιν εἴτε θεταὶ, εἰ καὶ τὰ μάλιστα ἡ θέσις ἐλύθη τῷ τρόπῳ τῆς αὐτεξουσιότητος. αἰσχυνέσθω γὰρ τῇ νῦν ἡ πάλαι τοῦ πάππου προσηγορία [17]).

dictum, fratrem secundo esse gradu. Rursus si quis te roget, patruus tuus quoto est gradu? Dices tertio. Oportet enim te ascendere ad patrem et dicere, me genuit pater, patrem avus: en duas generationes. Idem avus meum patruum: ecce tres generationes tres absolverunt gradus: itaque tertio mihi est gradu patruus. Sic quoque in aliis deinceps eidem inhaerens regulae poteris gradus deprehendere.

2. Prohibitas nuptias sic definimus. In ascendentibus quidem in infinitum nuptiae sunt vetitae, etiamsi ex legitimo non sint orti matrimonio. Neque enim quis aviam suam aut neptem ducere potest, sive naturales sint sive adoptivae, etsi vel maxime adoptio per emancipationem dissoluta fuit. Nam pudeat eum etiam tunc, quod antea avus appellatus fuit.

12) B: ἐρωτήσῃ.
13) B: πρός.
14) C ἐγένν. omittit.
15) C: δύναται.
16) Haec verbotenus sumta sunt ex Theophili Inst. III, 2 pr. — Harm. IV, 6, 1 — 4.
17) Haec et sequentia sunt epitomata ex Theophili Inst. I, 9 (vel 10) §. 1 sqq. — Harm. l. c. §. 12 — 15. L et M: αἰσχ. γὰρ τοίνυν. Cod. Bodl. 3399: τὰ νῦν. R verbum πάλαι non habet. C: παλαιά. Nobis qui-

γʹ. Καὶ μεταξὺ δὲ τῶν ἐκ πλαγίου προσώπων ἔστι τὶς κώλυσις. τὴν τοῦ ἀδελφοῦ μου ἢ τῆς ἀδελφῆς μου θυγατέρα λαμβάνειν πρὸς γάμον οὐ θέμις [18]).

δʹ. Ἀλλ' οὐδὲ τὴν τούτων ἐγγόνην, κἂν τετάρτου ἐστὶ [19]) βαθμοῦ, οὐ δύναμαι λαμβάνειν πρὸς γάμον· ὁμοίως τὴν θυγατέρα τοῦ θείου ἢ τῆς θείας, τουτέστι τὴν ἐξαδέλφην μου. ἀλλ' οὐδὲ ὁ υἱός μου τὴν ἐγγόνην αὐτῶν, οἵτινες λέγονται δισεξάδελφοι [20]).

εʹ. Ἀλλ' οὐδὲ τὴν πρὸς πατρὸς ἢ πρὸς μητρὸς θείαν, εἰ καὶ εἰσὶ θεταὶ, ἐπειδὴ μητέρων τάξιν ἐπέχουσιν. καὶ πῶς συμβαίνει εἶναι θετὴν θείαν; οἷον ὁ πάππος μου ὁ πρὸς πατρὸς, ἔχων υἱὸν τὸν ἐμὸν πατέρα, ἔλαβε κόρην τινὰ εἰς θέσιν, καὶ ὁ μὲν ἐμὸς πατὴρ ἐκάλει αὐτὴν θετὴν ἀδελφὴν, ἐγὼ δὲ θείαν.

3. Etiam inter personas collaterales quaedam est prohibitio. Fratris enim mei aut sororis meae filiam uxorem ducere fas non est.

4. Sed neque horum neptem, licet quarti sit gradus, ducere possum: similiter [nec] filiam thii vel thiae, id est patruelem meam aut consobrinam. Sed nec filius meus illorum neptem, qui inter se sobrini vocantur.

5. Sed neque amitam neque materteram, etiamsi adoptivae sint, quandoquidem matrum locum obtinent. Et quomodo evenit, ut thia sit adoptiva? verbi causa avus meus paternus, habens filium patrem meum, adoptavit quandam puellam, eamque meus quidem pater vocabat sororem adoptivam, ego vero amitam.

dem lectio, quam sequuti sumus, sana esse videtur. Aliorum de hoc loco judicia et conjecturas vide apud Reitzium in Theophilo p. LXVII sq. 93. 931. Adde in Epanagoge aucta (tit. XV §. 2) hunc locum sic legi: *αἰσχυνέσθωσαν γὰρ τοίνυν τὴν πάλαι τοῦ πατρὸς ἢ τοῦ πάππου προσηγορίαν ἐπ' αὐτῷ καλεῖσθαι.*

18) C verborum similitudine deceptus verba *οὐ θέμις*, et *Ἀλλ' οὐδὲ — πρὸς γάμον* in § sequenti omittit.

19) P: *εἰσί.* C: *ὦσι.*

20) R addit: *κανὼν γάρ ἐστι καθολικός· ἐκείνου τοῦ προσώπου, οὗ τὴν θυγατέρα λαβεῖν οὐκ ἐχώρει μοι πρὸς γάμον, τούτου οὐδὲ τὴν ἐκγόνην.*

ς'. Ὡσαύτως οὐδὲ τὴν μεγάλην θείαν δύναμαι λαβεῖν, τουτέστι τοῦ πάππου ἀδελφὴν, εἰ καὶ θετή ἐστιν, ἐπειδὴ μάμμης τάξιν ἐπέχει [21]).

6. Similiter nec magnam thiam ducere possum, id est avi sororem, licet adoptiva sit, quandoquidem aviae locum obtinet.

21) Quae hactenus leguntur, repetuntur in Epanagoge aucta tit. XV. Ibi tamen §. 4 sic audit: Ἀλλ' οὐδὲ τὴν τούτων ἐκγόνην, εἰ καὶ μάλιστα τοῦ τετάρτου βαθμοῦ ἐστιν, ἐξ οὗ δὴ βαθμοῦ δύναταί τις λαμβάνειν πρὸς γάμον, οἷον τὴν θυγατέρα τοῦ θείου ἢ τῆς θείας, τουτέστι τὴν ἐξάδελφον. ἀλλ' οὐδὲ ὁ υἱός μου τὴν ἐκγόνην αὐτῶν, οἵτινες λέγονται δισεξάδελφοι. κανὼν γὰρ ἔστω σοὶ καθολικός· ἐκείνου τοῦ προσώπου, οὗ τὴν θυγατέρα λαβεῖν οὐκ ἐχώρει σοι πρὸς γάμον ἀχθῆναι, τούτου οὐδὲ τὴν ἐκγόνην. ὡσαύτως ὁ υἱός σου. Maxime ad hanc § pertinent quatuor aliae, quae post sextam sequuntur, et quas hoc loco adscribere visum est. Sunt autem hae: ζ'. Τοῦτο τὸ κεφάλαιόν ἐν τοῖς ἰνστιτούτοις κατὰ τοιαύτην ἐῤῥέθη διάνοιαν, ὅτι δύναται μέν τις ἐκ τοῦ δ' βαθμοῦ, οἷον τὴν ἐξάδελφον, λαμβάνειν· τοῦτο γὰρ τότε οὐκ ἐκωλύετο· τὴν γὰρ ἐκγόνην τῆς ἀδελφῆς, κἂν τετάρτου βαθμοῦ ἐστιν, οὐδεὶς λαμβάνει· ἕτερος γὰρ τοῦτο κωλύει κανὼν, ὃν ἑξῆς φησιν. ἐπειδὴ δὲ σήμερον οὐ μόνον ὁ τέταρτος κεκώλυται βαθμὸς, ἀλλὰ καὶ ὁ ε' καὶ ὁ ς', περισσὸν οἶμαι καὶ τὸ εἰ καὶ μάλιστα, καὶ τὸ ἐξ οὗ βαθμοῦ δύναταί τις. *Hoc caput in Institutionibus eo sensu dictum est, quod potest aliquis ex quarto gradu, veluti consobrinam, ducere: hoc enim tum temporis non prohibebatur. Quod vero ad illud attinet, neptem sororis, licet quarto gradu sit, neminem posse ducere, id alia regula fieri vetat, quam deinceps proponit. Quandoquidem autem hodie non solum quartus, sed et quintus et sextus gradus prohibiti sunt, nunc supervacaneum esse arbitror tum illud „licet vel maxime" tum illud „ex quo gradu potest aliquis".* — η'. Ἀλλὰ καὶ αὐτὸς ὁ κανὼν βέλτιον οὕτως ῥηθήσεται· καὶ μεταξὺ τῶν ἐκ πλαγίου συγγενῶν ἐστὶ κώλυσις. τὴν τοῦ ἀδελφοῦ γὰρ ἢ τῆς ἀδελφῆς θυγατέρα λαμβάνειν πρὸς γάμον οὐ θέμις. οὐδὲ τὴν θυγατέρα τοῦ θείου ἢ τῆς θείας, τουτέστι τὴν ἐξάδελφον. ἀλλ' οὐδὲ ὁ υἱός μου τὴν ἐκγόνην αὐτῶν, οἵτινες λέγονται δισεξάδελφοι. *Sed et ipsa regula melius sic exprimetur: Etiam inter collaterales est prohibitio. Nimirum fratris sororisve filiam uxorem ducere fas non est: nec filiam thii vel thiae, hoc est patruelem aut consobrinam: sed nec filius meus eorum neptem, qui vocantur sobrini.* — θ'. Τὸ ἐκ τετάρτου βαθμοῦ δύνασθαι λαμβάνειν πρὸς γάμον, τῆς ἀρχαιοτέρας νομοθε-

ζ'. Εἰσὶ δὲ καὶ ἕτεροι οὐ διὰ θεσμὸν συγγενείας, διὰ δὲ ἀγχιστείαν μὴ προβαίνοντες. ἀγχιστεία δέ ἐστιν οἰκειότης προσώπων ἐκ γάμων ἡμῖν συνημμένη [22]) συγγενείας ἐκτός. οἷον οὐ δύναμαι λαβεῖν [23]) τὴν ἐμὴν προγόνην ἢ νύμφην. καὶ προγόνη μέν ἐστιν ἡ ἐξ ἄλλου θυγάτηρ καὶ ἐγγόνη καὶ προεκγόνη [24]) τῆς γαμετῆς μου· νύμφη δὲ ἡ τοῦ υἱοῦ καὶ ἐγγόνου καὶ προεγγόνου γαμετή.

7. Sunt vero et aliae nuptiae, quae non quidem ob cognationis vinculum, sed ob affinitatem haud procedunt. Affinitas autem est necessitudo personarum per nuptias conjunctarum, citra cognationem. Veluti privignam meam aut nurum ducere non possum. Et privigna quidem est uxoris meae ex alio filia et neptis et proneptis: nurus autem filii et nepotis et pronepotis uxor.

σίας ὂν, ἀνῃρέθη ὑπὸ τοῦ ἰσαυρικοῦ νόμου, ὃς καὶ πολιτεύεται νῦν μέχρι ϛ' βαθμοῦ κωλύων τὸν γάμον· οἱ γὰρ δισεξάδελφοι ἕκτου εἰσὶ βαθμοῦ. ὥστε οὖν τὸ κἂν τετάρτου εἰσὶ βαθμοῦ καὶ τὸ ἐξ οὗ βαθμοῦ δύναμαι λαβεῖν ἀνῃρημένον. *Ex quarto gradu uxorem ducendi licentia, antiquioribus legibus concessa, sublata est per Isauricam legem, quae vel nunc obtinet, intra sextum gradum nuptias prohibens: sobrini enim sexto gradu sunt. Itaque illud »licet quarto gradu sint« et illud »ex quo gradu ducere possum« sublatum est.* ['Ισαυρικὸς νόμος quinam intelligi debeat, Cod. Paris. 1381. A innuere videtur, dum ad hunc locum in margine adscripsit ex Ecloga Leonis et Constantini Isauricorum tituli II §. 2, Leunclavio scilicet tit. XII §. 2 in JGR II p. 101.] — ι'. Τὰ περὶ τῶν θετῶν θείων, σχεδὸν δὲ καὶ τὰ τῆς ἄλλης διὰ θέσεως συγγενείας ἀργεῖ σήμερον, ἐπειδὴ καὶ τὰ τῆς υἱοθεσίας παντελῶς ἐνηλλάγη, οὐχ ὑποκειμένων τῶν υἱοθετουμένων τῇ δουλείᾳ τῆς ἀρχαίας ὑπεξουσιότητος, ἧς λυομένης καὶ αὐτὴ ἡ υἱοθεσία ἐλύετο, οὐδὲ κερδαινόντων τῶν θετῶν πατέρων τῆς τῶν θετῶν υἱῶν ὑποστάσεως. *Quod de thiis adoptivis dictum est, et quodcunque paene ad cognationem per adoptionem attinet, hodie otiosum est, quandoquidem adoptionis jura omnino mutata sunt, et adoptati non amplius sunt obnoxii veteri patriae potestatis juri, quo soluto et ipse adoptionis nexus solvebatur, et patres adoptivi nihil lucrantur ex facultatibus filiorum adoptivorum.*

22) L: συνισταμένη.

23) B: λαμβάνειν.

24) B: προγόνη.

η'. Οὐδὲ τὴν πενθεράν μου ἢ τὴν μητρυιάν μου, ἐπειδὴ μητέρων τάξιν ἐπέχουσιν.

θ'. Οὐδὲ τὴν θυγατέρα τῆς ἀποζευχθείσης μου γυναικὸς, τὴν μετὰ τὴν ἀπόζευξιν τεχθεῖσαν ἐξ ἑτέρου ἀνδρός.

ι'. Οὐδὲ τὴν τοῦ πατρός μου ἢ τοῦ ἀδελφοῦ μου μνηστὴν, κἂν γαμεταὶ αὐτῶν οὐ γεγόνασιν, ὥσπερ οὐδὲ τὴν αὐτοῦ ὁ αὐτεξούσιον ποιήσας αὐτὸν [25]) θετὸς πατήρ. ἡ μὲν γὰρ μητρυιᾶς, ἡ δὲ νύμφης τάξιν ἐπέχει [26]).

ια'. Καὶ ὁ φυσικὸς γὰρ πατὴρ οὐ λαμβάνει τὴν πορνογενῆ αὐτοῦ θυγατέρα· τὸ φύσει γὰρ δίκαιον καὶ τὸ εὐπρεπὲς ἐν τοῖς γάμοις σκοπεῖται. ταῦτα καὶ περὶ δουλικῆς ἀγχιστείας [27])

ιβ'. Οὐ μόνον ἡ τοῦ πατρός μου ἀλλὰ καὶ ἡ [28]) τοῦ πάππου καὶ προπάππου γαμετὴ μητρυιὰ λέγεται, καὶ κωλύομαι λαβεῖν αὐτάς. κἂν πολλὰς ἔσχεν ὁ πατήρ μου, οὐδεμίαν αὐτῶν λαμβάνω [29]).

8. Nec socrum aut novercam meam, quippe matrum locum obtinent.

9. Neque separatae a me conjugis filiam post divortium ex alio viro natam.

10. Neque patris mei aut fratris mei sponsam, etiamsi illorum uxores factae non sint, uti nec sponsam filii adoptivi pater adoptivus, postquam hunc emancipavit: illa enim novercae, haec nurus locum obtinet.

11. Neque naturalis pater filiam suam vulgo quaesitam ducit: namque naturale jus et pudor in nuptiis spectatur. Haec etiam in servili affinitate obtinent.

12. Non solum patris mei, sed etiam avi et proavi uxor noverca dicitur, easque ducere prohibeor. Et si plures habuerit pater, nullam earum duco.

25) R: αὐτήν.

26) Dig. XXIII, 2 dig. 12 §. 1 et dig. 14 §. 1. — Harm. l. c. §. 15 et 18, quem confer et ibi Reitzium in nota 35.

27) Dig. l. l. dig. 14 §. 2. 3. — Harm. l. l. §. 18. — B in fine: τὰ αὐτὰ καὶ — φυλάττεσθαι χρή.

28) Articulus ἡ in C deest.

29) Dig. eod. dig. 14 §. 4. — Harm. l. l. §. 19.

ιγ'. Πενθερά ἐστιν ἡ μήτηρ καὶ ἡ μάμμη καὶ προμάμμη τῆς γαμετῆς μου, καὶ οὐδεμίαν αὐτῶν λαμβάνω [30]), οὐδὲ τὴν μητέρα τῆς ποτέ μου μνηστῆς· γέγονε γὰρ [31]) πενθερά. οὔτε τὴν ποτε γυναῖκα τοῦ προγόνου μου [32]).

ιδ'. Οὔτε ἡ μητρυιὰ λαμβάνει τὸν [33]) γενόμενον ἄνδρα τῆς προγόνης αὐτῆς [34]).

ιε'. Τὴν προεγγόνην τῆς ἀδελφῆς μου γαμεῖν οὐ δύναμαι· γονέων γὰρ ἔχω πρὸς αὐτὴν τάξιν· οὔτε τὴν θυγατέρα τῆς προγόνης μου λαμβάνω [35]).

ιϛ'. Ἐν τοῖς γάμοις οὐ μόνον τὸ ἐπιτετραμμένον, ἀλλὰ καὶ τὸ εὐπρεπὲς [36]) ζητοῦμεν [37]).

ιζ'. Τὴν ἐκ πορνείας ἀδελφὴν οὐδεὶς λαμβάνει [38]).

ιη'. Οὔτε ὁ θετὸς πατὴρ τὴν τοῦ θετοῦ υἱοῦ θυγατέρα ἢ τὴν ἐγγόνην [39]).

13. Socrus est mater et avia et proavia uxoris meae, et nullam earum duco uxorem, nec matrem sponsae quondam meae: socrus enim facta est: neque privigni mei quondam uxorem.

14. Nec noverca nubit ei, qui privignae maritus fuit.

15. Proneptem sororis meae ducere non possum: parentum enim loco illi sum: neque filiam privignae meae duco.

16. In nuptiis non modo quod licet, sed et quod honestum est quaerimus.

17. Vulgo quaesitam sororem nemo uxorem ducit.

18. Nec pater adoptivus adoptivi filii filiam vel neptem.

30) Verba πενθερὰ — λαμβάνω apud R desiderantur.

31) C: δέ.

32) Dig. l. c. dig. 14 §. 4 et dig. 15. — Harm. §. 19.

33) L: τόν ποτε γεν.

34) Dig. eod. dig. 15. — Harm. eod.

35) Dig. eod. dig. 39. 40. — Harm. eod.

36) R addit: καὶ σεμνόν.

37) Dig. eod. dig. 42. — Harm. eod.

38) Dig. eod. dig. 54. — Harm. §. 24.

39) Dig. eod. dig. 55. — Harm. eod.

ιθʹ. Οὔτε ὁ θετὸς υἱὸς τὴν τοῦ θετοῦ πατρὸς μητέρα ἢ τὴν ἀδελφὴν αὐτῆς ἢ τὴν ἀπὸ υἱοῦ ἐγγόνην [40]).

κʹ. Οὐκ εὐπρεπῶς ἡ γυνὴ τοῦ ἰδίου πάτρωνος γαμεῖται ἀπελευθέρῳ αὐτοῦ [41]).

19. Neque filius adoptivus adoptivi patris matrem ejusve sororem vel ex filio neptem.

20. Uxor patroni haud honeste nubit illius liberto.

40) Dig. et Harm. ll. ll. — R addit in fine: τῆς γὰρ καθ' ἡμᾶς θέσεως ἐν ναοῖς ἁγίοις καὶ εὐχαῖς ὁσίαις γενομένης ἄλυτός ἐστιν ὁ δεσμὸς καὶ δεῖ ὡς τοὺς φυσικοὺς καὶ τοὺς θετοὺς γάμους κωλύεσθαι. Cf. Nov. Leonis 24. Addo locum ex Epanagoge aucta tit. XV hunc: Ἐπὶ τῶν θετῶν συγγενῶν φασιν οἱ παλαιοὶ τοὺς ἀνιόντας καὶ κατιόντας πρὸς τοὺς ἀλλήλων γάμους κωλύεσθαι, κἂν ἡ θέσις ἐλύθη δι' αὐτεξουσιότητα. ἐπὶ δὲ τῶν ἐκ πλαγίου τὸν θετὸν υἱὸν πρὸς μὲν τῆς μητρὸς θείαν, κἂν ὑπεξούσιός ἐστιν, οὐ κωλύουσι τὴν ἀπὸ θηλυγονίας συγγένειαν, πρὸς δὲ τὴν πατρὸς κωλύουσι, κἂν αὐτεξούσιος γένηται. ἀλλὰ καὶ τὸν πρὸς τοὺς ἀδελφοὺς γάμον, ἡνίκα ἡ θέσις λυθῇ, ἀκώλυτον ἡγοῦνται. ὁμοίως δὲ καὶ τὸν πρὸς τοὺς ἐξ ἀῤῥενογονίας ἀνεψιούς. τὸν γὰρ πρὸς τοὺς ἐκ θηλυγονίας καὶ συνεστώσης τῆς θέσεως οὐ κωλύουσι. καὶ τὸν μὲν δεσμὸν τῆς φύσεως τὴν ὑπεξουσιότητα νομίζουσι, μετὰ δὲ τὴν αὐτεξουσιότητα ἐξαλείφεσθαι τῆς θετῆς φαμιλίας φασὶ τὴν συγγένειαν. καὶ ταῦτα μὲν ἡ ἀρχαιότης. μήπω δὲ τῆς νεαρᾶς διαφορὰν ἔχοντας πάλιν τοὺς ἐξ ἀῤῥενογονίας πρὸς τοὺς ἐκ θηλυγονίας περὶ τὰς κληρονομίας εἰς ἀδιάφορον ὁμοιότητα μεθαρμοσάσης, δοκεῖ σιωπηρῶς καὶ τὰ τῶν θετῶν διορθωθῆναι· καὶ μήποτε τῆς καθ' ἡμᾶς θέσεως ἐν ἁγίοις ναοῖς καὶ δι' εὐχῶν ὁσίων καὶ χειροθεσίαν ἱερέων συνισταμένης, ἄλυτος ὁ δεσμὸς διαμένει, καὶ [δεῖ] καθάπερ ἐπὶ τῆς φυσικῆς συγγενείας οὕτω καὶ ἐπὶ τῆς θετῆς τοὺς γάμους κωλύεσθαι.

41) Dig. h. t. dig. 62 §. 1. — Harm. §. 25. — Omnes Codices post αὐτοῦ addunt haec verba: κἂν ἀποδῷ τοὺς λόγους. Item Codices Epanagoges auctae. Ea tamen verba ad hunc locum non pertinent, sed sunt initialia fragmenti a Prochiri compilatoribus omissi (dig. cit. §. 2), quod nobis servatum est in Cod. Bodlej. 3399 et ab Harmenopulo l. l. §. 26. Est autem hoc: Κἂν ἀποδῷ τοὺς λόγους ὁ ἐπίτροπος τῷ κουράτορι, τὴν ἐπιτροπευθεῖσαν ὑπ' αὐτοῦ οὐ δύναται γαμεῖν ἕως οὗ γένηται κεʹ ἐτῶν καὶ ὁ τῆς ἀποκαταστάσεως τετραετὴς χρόνος παραδράμῃ, κἂν τὰ μάλιστα συναφθεῖσα πρὸς γάμον ἕτερον παῖδας ἔσχεν. — Caeterum apud R in fine glossema adjectum reperitur hoc: πάτρωνα καλεῖ ὁ ἐλεύθερος τὸν τοῦ ἐλευθερώσαντος αὐτὸν κληρονόμον ἢ υἱόν.

κα'. Οὔτε ὁ πατὴρ τοῦ ἐπιτρόπου οὔτε ὁ συνυπεξούσιος αὐτοῦ ἀδελφὸς δύναται γαμεῖν τὴν ὀρφανήν [42]).

κβ'. Καὶ ὁ κουράτωρ τῆς γαστρὸς ἢ τῆς οὐσίας ὑπόκειται τῇ κωλύσει. χρεωστεῖ γὰρ ἀποδοῦναι τοὺς λόγους, καὶ ἀδιάφορον [43]) εἴτε πολὺν διῴκησε χρόνον, εἴτε ὀλίγον [44]).

κγ'. Ὁ θετὸς υἱὸς οὐ δύναται τὴν γαμετὴν τοῦ θετοῦ πατρὸς γαμεῖν, εἰ καὶ μὴ ἅπτηται [45]) τοῦ γένους αὐτῶν [46]).

κδ'. Ὁ ἐπὶ μοιχείᾳ γυναικὸς κατηγορηθεὶς οὐ δύναται ταύτην γαμετὴν ἀγαγέσθαι [47]).

κε'. Ἡ ἐν τῷ πενθεῖν τὸν ἄνδρα γεννήσασα ἔτι [48]) κωλύεται γάμῳ προσελθεῖν [49]).

κϛ'. Αἱ τῶν πενθουμένων καὶ αἱ τῶν μὴ πενθουμένων ἀνδρῶν γαμεταὶ κωλύονται ἐν τῷ πενθίμῳ καιρῷ γαμεῖσθαι [50]).

21. Neque pater tutoris, neque frater sub eadem potestate constitutus pupillam ducere potest.

22. Etiam curator ventri bonisque datus prohibitioni subjacet. Rationes enim reddere debet, atque indifferens est, sive longo tempore administrarit sive brevi.

23. Filius adoptivus patris uxorem ducere nequit, licet illorum familiam non attingat.

24. De adulterio mulieris accusatus eam uxorem ducere non potest.

25. Quae intra tempus luctus viri peperit, adhuc prohibetur ad nuptias venire.

26. Virorum, qui lugentur et qui non lugentur, uxores intra tempora luctus nubere prohibentur.

42) Dig. eod. dig. 67 §. 2. — Harm. §. 27.

43) C: διάφ.

44) Dig. h. t. dig. 67 §. 4. — Harm. §. 29.

45) B: ἅπτεται.

46) B: αὐτοῦ. — Dig. h. t. dig. 14. — Harm. §. 30.

47) Dig. l. l. dig. 26 et XXXIV, 9, 13. — Harm. §. 31.

48) M: ἐπιγεννήσασα κωλ.

49) Dig. III, 2, 11. — Harm. §. 35.

50) Dig. III, 2, 11. — Harm. §. 34.

κζ'. Ὁ παρθένον ἢ χήραν ἁρπάσας οὐ δύναται ταύτην γαμεῖν, οὐδὲ συναινοῦντος τοῦ ταύτης πατρὸς καὶ συγχωροῦντος τὸ ἔγκλημα [51]).

κη'. Ὁ μέντοιγε ἀπὸ [52]) τοῦ ἁγίου βαπτίσματός τινα δεξάμενος οὐ δύναται αὐτὴν ὕστερον πρὸς γάμον ἀγαγέσθαι, ὡς δῆθεν θυγατέρα αὐτοῦ γενομένην, οὐδὲ τὴν ταύτης μητέρα ἢ θυγατέρα· ἀλλ' οὐδὲ ὁ υἱὸς αὐτοῦ. ἐπειδὴ οὐδὲν ἄλλο οὕτως δύναται εἰσαγαγεῖν πατρικὴν διάθεσιν καὶ δικαίαν γάμου κώλυσιν πρὸς τὸν τοιοῦτον δεσμὸν [53]), δι' οὗ θεοῦ μεσάζοντος αἱ ψυχαὶ αὐτῶν συνάπτονται [54]).

27. Qui virginem vel viduam rapit, non potest eam uxorem ducere, nec consentiente illius patre et crimen condonante.

28. Qui vero aliquam ex sacro baptismate suscepit, eam deinde uxorem ducere nequit, utpote filiam ipsius factam, nec matrem ejus filiamve: sed nec filius ejus. Siquidem nihil aliud paternum affectum et justam matrimonii prohibitionem magis inducere potest, quam tale vinculum, per quod deo interveniente eorum animae conjunguntur.

51) Cod. IX, 13. Nov. 143. 150. — Harm. §. 37.

52) C: διά.

53) B: ὡς ὁ τοιοῦτος δεσμός.

54) Cod. V, 4, 26. — In Basil. Fabrot. IV p. 278 schol. e τοῦ κατὰ πόδας esse dicitur. — Harm. §. 10. — Caeterum P in fine § adjicit hanc: Γάμος ἐστὶν εἴτε δι' εὐλογίας, εἴτε διὰ στεφανώματος, ἢ διὰ συμβολαίου. τὰ δὲ παρὰ ταῦτα γενόμενα ὡς μηδὲ γεγονότα λογιζόμεθα. Deinde habet ψευδότιτλον, scilicet περὶ τοῦ μὴ ἀποκλείεσθαι γυναῖκα ὑπὲρ χρηματικῆς ὑποθέσεως βιβλίου θ'. Μὴ ἐμβαλέσθω γυνὴ εἰς δεσμοτήριον κ. τ. λ. Est epitome Nov. 134 cap. 9; hic tamen ad Cod. IX, 4 referri videtur.

ΤΙΤΛΟΣ ΌΓΔΟΟΣ.

Περὶ δικαίου προικός.

α'. Ἡ διατετιμημένη προῖξ τῷ ἀνδρὶ κινδυνεύεται· κἂν ἀποθάνωσι τὰ ζῷα, κἂν ἡ γυνὴ τὴν ἐσθῆτα κατατρίψῃ, τὴν ἀποτίμησιν αὐτῶν δίδωσιν [1].

β'. Τῆς ἀδιατιμήτου δὲ [2] καὶ ἡ αὔξησις καὶ ἡ μείωσις τὴν γυναῖκα ὁρᾷ· καὶ αὐτὴ λαμβάνει τὸν τοκετὸν τῶν δούλων. τοὺς δὲ καρποὺς καὶ τὴν γονὴν τῶν θρεμμάτων ὁ ἀνὴρ λαμβάνει, πρότερον μέντοι πληρῶν τὰ πρωτότυπα καὶ ὑποβάλλων ἀντὶ τῶν τελευτώντων ἐκ τῶν ἐπιγενομένων [3]. ἐὰν δὲ πρὸ τοῦ γάμου τελευτήσῃ τινὰ τῶν διατετιμημένων, ἡ γυνὴ ζημιοῦται [4].

γ'. Τῶν γάμων μὴ γενομένων, οὐ τὴν διατίμησιν τῶν δοθέντων διατετιμημένων, ἀλλὰ τὰ πράγματα ἡ γυνὴ ἀπολαμβάνει [5].

δ'. Ἐὰν ἐξωτικὸς ἐπαγγειλάμενος προῖκα ἀπορήσῃ, ὁ ἀνὴρ ὡς μὴ ἀπαιτήσας ἐκκινδυνεύει· εἰ μὴ ἄρα κατὰ

TITULUS OCTAVUS.

De jure dotis.

1. Dos aestimata viro periclitatur, et sive animalia moriantur, sive uxor vestem detriverit, aestimationem horum reddit.

2. Inaestimatae vero et augmentum et deminutio mulierem spectat: et ipsa partum ancillarum acquirit. Fructus autem et fetus animalium vir consequitur, ante tamen supplens capita principalia et substituens pro demortuis ex agnatis. Sed si ante nuptias aliqua ex aestimatis perierint, uxoris damno est.

3. Nuptiis non sequutis, non pretium datarum rerum aestimatarum, sed res ipsas mulier recipit.

4. Si extraneus dotem pollicitus solvendo non sit, viri est periculum, ut qui non exegit: nisi per donatio-

1) Dig. XXIII, 3, 10 pr. — Harm. IV, 8, 1.

2) B: Τῆς δὲ ἀδ.

3) B: ἐπιγεννωμένων. C: ἐπιγιν.

4) Dig. eod. §. 1 — 5. — Harm. l. c.

5) Dig. eod. dig. 17 §. 1. — Harm. §. 3.

δωρεὰν ἐπηγγείλατο. τότε γὰρ τοῦ ἀνδρὸς φειδόμεθα μὴ κατακρημνίσαντος πρὸς καταβολὴν τὸν δωρησάμενον, ἐπειδὴ καὶ οἱ δωρούμενοι μέχρις εὐπορίας καταδικάζονται [6]).

ε'. Ἐὰν ὁμολογήσῃ τὶς εἴσω ἐνιαυτοῦ διδόναι προῖκα, ὁ ἐνιαυτὸς οὐκ ἀπὸ τῆς ἡμέρας τῆς ἐπερωτήσεως ἀλλὰ τῶν γάμων ἀριθμεῖται [7]).

ς'. Ἐὰν γνώμῃ τῆς αὐτεξουσίας [8]) μου θυγατρὸς ἐπιδῶ τὰ δωρηθέντα αὐτῇ παρ' ἐμοῦ, οὐκ ἐγὼ ἀλλ' αὐτὴ δεδωκέναι δοκεῖ [9]).

ζ'. Τὰ ἐκ τῶν προικιμαίων χρημάτων [10]) ἀγορασθέντα προικιμαῖά εἰσιν [11]).

η'. Ὅπου τὰ βάρη τοῦ γάμου, ἐκεῖ καὶ ἡ προῖξ ὀφείλει εἶναι· παραχρῆμα δὲ τοῦ ἀποθανεῖν τὸν πατέρα τῷ υἱῷ ἕπονται [12]), ὥσπερ καὶ οἱ παῖδες καὶ ἡ γυνή [13]).

θ'. Τὸ λεγόμενον, ὅτι τὰ ἀναγκαῖα δαπανήματα τῷ αὐτῷ δικαίῳ μειοῖ τὴν προῖκα, τοῦτο δηλοῖ, ὥστε

nem promiserit. Tunc enim parcimus viro, qui donatorem ad solutionem non praecipitaverit: siquidem donatores quoque pro facultatibus condemnantur.

5. Si quis intra annum spoponderit dotem dare, annus non a die stipulationis sed nuptiarum numeratur.

6. Si voluntate filiae meae emancipatae res ipsi a me donatas dedero, non ego, sed ipsa dedisse videtur.

7. Res ex dotali pecunia comparatae dotales sunt.

8. Ubi matrimonii sunt onera, ibi et dotem esse oportet: ac statim post patris mortem filium sequuntur, sicuti et liberi et uxor.

9. Quod dicitur, impensas necessarias dotem ipso jure minuere, hoc significat, ut maritus fundum aut

6) Dig. eod. dig. 33. — Harm. §. 16.

7) Dig. eod. dig. 48. — Harm. §. 17.

8) C: —σίου.

9) Dig. eod. dig. 51. — Harm. §. 23.

10) R: πραγμάτων. Male.

11) Dig. eod. dig. 54. — Harm. §. 25.

12) B: ἕπεται.

13) Dig. eod. dig. 56 §. 1. 2. — Harm. §. 26.

τὸν ἄνδρα παρακρατεῖν τὸν ἀγρὸν ἢ μέρος [14]) αὐτοῦ, ἕως οὗ λάβῃ τὴν δαπάνην. εἰ δὲ κατὰ μέρος εἰς τὸν ἀγρὸν ἐδαπανήθη ὅσου ἦν ἄξιος, παύεται εἶναι προικιμαῖος, εἰ μὴ ἐντὸς ἐνιαυτοῦ παράσχοι τὰς δαπάνας. εἰ δὲ ἦσαν σὺν τῷ ἀγρῷ καὶ χρήματα ἐν προικὶ, τὰ χρήματα μειοῦται. καταβαλλούσης [15]) δὲ τῆς γυναικὸς τὰς δαπάνας, ὑποστρέφει ὁ ἀγρὸς εἰς τὴν προῖκα. ἐν τῷ μεταξὺ δὲ κεκώλυται [16]) ἡ ἐκποίησις αὐτοῦ [17]).

ΤΙΤΛΟΣ ἜΝΝΑΤΟΣ.

Περὶ ἐκδικήσεως προικὸς καὶ τῶν βαρῶν αὐτῆς.

α'. Συνεστῶτος τοῦ γάμου τῇ μὴ ἀπολυούσῃ γαμετῇ δύναται ἡ προῖξ ἐκ τούτων καταβάλλεσθαι [1]) τῶν αἰτιῶν· οἷον ἵνα αὐτὴν καὶ τοὺς ἰδίους θρέψῃ, ἵνα ἀγρὸν ἐπιτήδειον ἀγοράσῃ, ἵνα τὸν ἐξόριστον πατέρα θρέψῃ, ἢ τὸν ἄνδρα ἢ τοὺς ἀδελφοὺς πενομένους [2]).

partem ejus retineat, donec impensam recipiat. Quod si per partes in fundum expensum fuit quanti valebat, dotalis esse desinit, nisi intra annum expensas obtulerit. Sed si simul cum fundo pecunia in dote fuit, minuitur pecunia. Solvente autem muliere expensas, revertitur fundus ad dotem. Interim ejus alienatio prohibita est.

TITULUS NONUS.

De vindicatione dotis ejusque oneribus.

1. Constante matrimonio uxori haud perditurae dos ex hisce causis reddi potest: puta, ut se suosque alat, ut idoneum agrum emat, ut patrem exsulem alat, aut virum fratresque egenos.

14) R: ἡμέρας.
15) B: καταβαλούσης.
16) L: κωλύεται.
17) Dig. eod. dig. 56 §. 3. — Harm. §. 52.
1) R: κενοῦσθαι.
2) Dig. XXIII, 3, 73 §. 1. — Harm. IV, 9, 1. — R addit: κατὰ τὴν νεαρὰν (scil. Nov. 22 cap. 39) δύναται ἡ προῖξ κενοῦσθαι διὰ τὰς εἰρημένας αἰτίας· ταῦτα δὲ κρίσει τοῦ ἐπάρχου ἢ τοῦ κοιαίστωρος ἢ τῶν ἐπισκόπων γενέσθωσαν.

β'. Ὁ ἀνὴρ καὶ ἄπορος ὢν πᾶσαν τὴν προῖκα χρεωστεῖ [3]).

γ'. Ὁ ἀνὴρ ἐπιτρέπων ἑτέρῳ τινὶ δοθῆναι τὴν προῖκα, αὐτὸς πιστεύεται αὐτὴν εἰληφέναι [4]).

δ'. Ὁ πενθερὸς ὑπὸ τοῦ γαμβροῦ καὶ ἡ γυνὴ ἀπὸ τοῦ ἀνδρὸς ἀπαιτούμενοι ἣν ἐπερωτήθησαν προῖκα, πρὸς τὸ μέτρον τῆς αὐτῶν οὐσίας καταδικάζονται [5]).

ε'. Ὁ ἐπερωτηθεὶς τῷ γαμβρῷ αὐτοῦ προῖκα, καὶ ληγάτον εἶναι αὐτὴν τῇ θυγατρὶ αὐτοῦ, οὐ ποιεῖ τοῖς δυσὶν ἔνοχον τὸν ἴδιον κληρονόμον, ἀλλ' εἷς μόνος ἀπαιτεῖ, ὃς ἐὰν [6]) συναρέσῃ αὐτοῖς [7]).

ϛ'. Ἐὰν συμφωνηθῇ ἐξ ἀπαιδίας τὸν ἄνδρα κερδᾶναι τὴν προῖκα, καὶ ναυαγήσῃ ἡ γυνὴ μετὰ ἐνιαυσιαίου παιδίου, δοκεῖ προτελευτᾶν τῆς μητρὸς ὁ παῖς, καὶ κερδανεῖ [8]) ὁ ἀνήρ [9]).

2. Vir etiam inops totam debet dotem.

3. Vir permittens alicui dotem dari, ipse eam accepisse creditur.

4. Socer a genero et mulier a marito de promissa dote interpellati pro modo facultatum suarum condemnantur.

5. Qui genero stipulatus est dotem eandemque legatum fore filiae suae, heredem suum duobus simul non obligat: sed alteruter eorum solus petit, prout ipsis placuerit.

6. Si convenerit, ut maritus liberis non extantibus dotem lucretur, ac mulier cum puero anniculo in naufragio perierit, puellus ante matrem obiisse creditur, ac vir dotem lucrabitur.

3) Cod. V, 18, 8. — Harm. §. 2.

4) Dig. XXIV, 3, 22 §. 12. — Harm. §. 3. — B: ἀνειληφέναι.

5) Dig. eod. dig. 17. — Harm. §. 5.

6) **Reitzius** ἂν conjecit: sed omnes Codices lectionem ἐάν tuentur. Caeterum M habet: ἀλλ' ἓν ἀπαιτεῖται, ὃ ἐὰν ἀρέσῃ αὐτοῖς.

7) Dig. XXXIII, 4, 1 §. 9. — Harm. §. 6.

8) L: κερδαίνει.

9) Dig. XXIII, 4, 26. — Harm. I, 9, 21.

ζ'. Ἐὰν γυνὴ κατ' ἀψιμαχίαν λαβοῦσα τοὺς παῖδας ὑπαναχωρήσῃ τοῦ ἀνδρὸς, ὁ δὲ ὥσπερ ἀγοράζων τὴν φιλίαν αὐτῆς σωμφωνήσῃ, μὴ ἀπαιτῆσαι τὴν προῖκα, εἴγε πρὸς αὐτὸν ὑποστρέψοι, οὐκ ἔρρωται τὸ σύμφωνον [10]).

η'. Ἐάν τις συνεφώνησε [11]) πρὸς τὸν πενθερὸν, ἵνα, ἐὰν συμβῇ αὐτὸν ἐν τῷ γάμῳ τελευτῆσαι παίδων ὑπόντων, τὸ ἥμισυ τῆς προικὸς μόνον ἀποδοθῇ, ἄχρηστόν ἐστι τὸ σύμφωνον [12]).

θ'. Ἐὰν ὁ ἀνὴρ συμφωνήσῃ πρὸς τὴν γυναῖκα, ἵνα τελευτῶσαν αὐτὴν κληρονομήσῃ, τὸ σύμφωνον τοῦτο ἄχρηστόν ἐστιν. οὐδὲ γὰρ δυνατὸν διὰ συμφώνου τυποῦσθαι τὰ περὶ τῆς ἡμετέρας κληρονομίας. ἐξωτικὸς γὰρ ἄνθρωπος διαθήκης χωρὶς ἕτερον οὐ δύναται κληρονομῆσαι. ἡ γὰρ κληρονομία τοῖς ἐξωτικοῖς ἐν διαθήκῃ δίδοται [13]).

ι'. Ἐὰν γένηται σύμφωνον, ἵνα προτελευτώσης τῆς γυναικὸς ἡ προῖξ ἀπομείνῃ παρὰ [14]) τῷ ἀνδρὶ, ἐὰν παρὰ τοῦ πατρὸς [15]) δεδομένη ἐστὶν ἡ προῖξ, ἔρρωται

7. Si mulier per jurgium liberos secum ducens a viro discesserit, hic autem velut emturus illius amicitiam promiserit, se dotem non petiturum, si illa ad ipsum redierit, non valet pactum.

8. Si quis cum socero paciscatur, ut, si eum constante matrimonio extantibus liberis mori contigerit, dimidia tantum dos restituatur, inutile est pactum.

9. Si vir paciscatur cum uxore, ut ei mortuae heres sit, pactum illud erit inutile. Neque enim de hereditate nostra per pactionem statuere possumus. Extranea enim persona absque testamento heres alicui esse non potest. Hereditas scilicet extraneis testamento datur.

10. Si pactum fuit, ut muliere praemortua dos apud maritum remaneat, si a patre dos fuit profecta,

10) Dig. eod. dig. 27. — Harm. eod. §. 22.

11) B: συμφωνήσῃ.

12) Cod. V, 14, 3. — Harm. eod. §. 23.

13) Cod. eod. const. 5. — Harm. §. 24.

14) B παρά non habet.

15) B: ἀνδρός.

τὸ σύμφωνον καὶ ἀποκλείεται ὁ πατήρ. δυνατὸν γὰρ βλάπτεσθαι ἀπὸ συμφώνων τὴν προῖκα, ὅτε μόνος ὁ πατὴρ μέλλει περὶ αὐτῆς ἐνάγειν [16].

ια'. Ἐὰν ἐγγραφῇ [17] *μὲν τῷ προικῴῳ συμβολαίῳ ποσότης προικὸς, μὴ ἐπεδόθη δὲ, ἔξεστι καὶ τῷ ἀνδρὶ καὶ τοῖς κληρονόμοις αὐτοῦ, καὶ τῷ τοῦ ἀνδρὸς πατρὶ, εἰ συνυπεδέξατο τὴν προῖκα, καὶ τοῖς κληρονόμοις* [18] *αὐτοῦ, καὶ ἁπλῶς παντὶ προσώπῳ τὴν προῖκα αἰτουμένῳ, ἀντιτιθέναι τῇ γυναικὶ καὶ τοῖς αὐτῆς κληρονόμοις ἀναργυρίαν εἴσω ἐνιαυτοῦ ἀριθμουμένου συναπτῶς μετὰ τὴν λύσιν τοῦ γάμου* [19].

ιβ'. Εἰ συναφθεῖέν τινες ἀλλήλοις ἐπὶ προικὸς καὶ προγαμιαίας συμβολαίοις δωρεᾶς [20], *εἶτα φανῇ παρ' ὅλον τὸν τοῦ γάμου καιρὸν ἡ προῖξ μὴ δοθεῖσα τῷ συνοικήσαντι, ἀλλὰ ἀνασχόμενος ἐκεῖνος τῶν τοῦ γάμου βαρῶν, καὶ ὁ γάμος θανάτῳ τοῦ ἀνδρὸς διαλυθείη, οὐκ ἂν εἴη δικαία* [21] *παντελῶς ἡ γυνὴ προῖκα μὴ δοῦσα τῷ συνοικήσαντι τὴν προγαμιαίαν λαβεῖν δωρεάν. εἰ*

valet pactum ac pater excluditur. Potest enim dos per pactum deminui, quando soli patri de ea agere licet.

11. Si in dotali instrumento perscripta quidem sit dotis quantitas nec tamen tradita, licet et viro et heredibus ejus, et patri viri, si dotem una in se receperit, ejusque heredibus, ac denique omni personae, a qua dos repetitur, opponere mulieri atque ejus heredibus non numeratae dotis exceptionem intra biennium continue computatum a matrimonii solutione.

12. Si qui conjuncti fuerint interpositis de dote et antenuptiali donatione instrumentis, ac postea appareat per totum conjugii tempus dotem marito non esse datam, sed illum matrimonii onera tulisse, matrimoniumque viri morte dissolutum fuerit, omnino non justum foret, mulierem, quae conjugi dotem non dedit, antenuptialem capere donationem. Quod si totam non

16) Cod. eod. const. 6. — Harm. §. 25.
17) L: *ἐνεγράφη.*
18) C: *τοὺς κληρονόμους.*
19) Cod. V, 15, 3. — Harm. II, 2, 5.
20) B: *δωρεᾶς συμβ.*
21) B: *δίκαιον.*

δὲ καὶ μὴ εἰς ὁλόκληρον δοίη, καὶ αὐτὴ κατὰ τοσοῦτον ἀπαιτείτω τὴν δωρεὰν, καθ' ὅσον ἐπιδοίη τὴν προῖκα. ἰσότητος γὰρ ἐσμὲν καὶ δικαιοσύνης ἐρασταὶ, καὶ ταύτην [22]) ἐν ἅπασί τε τοῖς ἄλλοις καὶ πρός γε τοῖς συνοικεσίοις βουλόμεθα κρατεῖν, ὥστε ἡ μηδ' ὁτιοῦν ἐπιδοῦσα μηδ' ὁτιοῦν λαμβανέτω. εἰ δὲ ἡ μὲν δοῦναι βουληθῇ τὴν προῖκα ἢ ὁ ὑπὲρ ταύτης παρεχόμενος αὐτὴν ἢ ὅστις ποτ' ἂν εἴη, ὁ δὲ ἀνὴρ ἢ ὁ τούτου πατὴρ τυχὸν ἢ ὁ πάππος ὑποδέξασθαι μὴ βουληθῇ, τὸ δὲ τῆς γυναικὸς ἐκμαρτύρεται μέρος καὶ ἑτοίμως ἔχει ταύτην καταβάλλειν, ἢ [23]) καί τι μεῖζον πράξειε καὶ προσαγάγοι [24]) τυχὸν, καὶ εἴγε κινητὴ καθεστήκοι, καὶ σφραγῖδας ἐπιθείη καὶ κατὰ τὸν νόμον ἀπόθοιτο, ἢ καὶ κατὰ μίαν μοῖραν [25]) εἰσβάλλων εἰς δικαστήριον ἀξιοῖ ταῦτα γενέσθαι, καὶ διαβάντες ἐκ τοῦ δικαστηρίου [26]) τινὲς παρήγγειλαν [27]) ταῦτα πρὸς τὸ τοῦ ἀνδρὸς μέρος, ἐπιμείνοι δὲ καὶ οὕτως ἀναβαλλόμενον, μὴ δύνασθαι διαλυθέντος τοῦ γάμου τὴν τῆς προγαμιαίας δωρεᾶς ἔκτισιν ἐκκλίνειν ὡς δὴ προικὸς οὐκ ἐπιδοθείσης· ὁ γὰρ δοῦ-

dederit, etiam ipsa tantam donationis partem petat, quantam dotis dedit. Aequalitatis enim sumus et justitiae amantes, eamque tum in aliis rebus omnibus, tum vero etiam in conjugiis obtinere volumus, ita ut, quae nihil plane dedit, etiam nihil accipiat. Sed si ipsa quidem dotem dare voluerit, vel qui illam pro ea praestat vel quicunque alius, vir autem ejusve pater forte vel avus accipere recusaverit, pars autem mulieris testatione utitur et parata est eam solvere, vel etiam amplius quid fecerit et forte protulerit, et, si mobilis sit, sigilla quoque apposuerit et secundum legem deposuerit, aut etiam ab una parte in judicium prodiens hoc fieri desideret, et quidam ex judicio egressi id parti mariti denuntiarint, is autem vel sic differre perseveret, non poterit soluto matrimonio donationis propter nuptias solutionem effugere quasi dote non data: qui enim dare

22) C καταύτην habet, hocque verbo novam § incipit.
23) C: καταβαλεῖν εἰ καί.
24) B: προσάγοι.
25) R: ἡμέραν.
26) L et R: δικαστοῦ.
27) B: ἀπήγγ.

ναι βουληθεὶς, ἐν ᾧ τὴν λῆψιν ὁ λαμβάνειν ἠξιωμένος παραιτεῖται, παραπλήσιος ἔσται [28]) τῷ δεδωκότι [29]).

ιγ'. Τὰ τῆς προγάμου δωρεᾶς καὶ τῆς προικὸς πράγματα οὔτε συναινούσης τῆς γυναικὸς ἐκποιεῖται, οὐδὲ ἐνεχυριάζεται, εἰ μὴ δευτέραν ποιήσηται συναίνεσιν αὐτοῖς ἡ γυνὴ μετὰ διετίαν· ἔνθα μέντοιγε δυνατόν ἐστι τὸ ἱκανὸν αὐτῇ γενέσθαι ἐξ ἑτέρων πραγμάτων. ὁ γὰρ παρὰ τὴν λεχθεῖσαν [30]) παρατήρησιν ἀγοράζων τὰ τοιαῦτα πράγματα, τὴν μὲν γυναῖκα οὐ προκριματίζει, ἀλλ' ὑπόκειται αὐτῇ [31]).

ιδ'. Δύο προικῴων [32]) ὑπό τινος χρεωστουμένων τὰ μὲν ἐξ αὐτῶν φαινόμενα πράγματα ἐκδικεῖται ὑπὸ τῶν τεχθέντων ἐκ [33]) τοῦ αὐτοῦ γάμου. εἰς [34]) δὲ τὰ μὴ φαινόμενα ἔχει προγενεσίαν ἡ πρώτη προῖξ ἀπαιτουμένη ὑπό τε τῆς γυναικὸς καὶ ὑπὸ τῶν κατιόντων αὐτῆς ἑκατέρας φύσεως [35]).

voluit, quando is, qui accipere rogatur, recusavit, similis est ei, qui dedit.

13. Quae res ad ante nuptias donationem et dotem pertinent, nec consentiente muliere alienantur aut oppignerantur, nisi mulier post biennium iterum iisdem consentiat, si tamen ei satisfieri possit ex aliis rebus. Qui enim citra dictam observationem hujusmodi res emerit, mulieri non praejudicat, sed ei tenetur.

14. Si quis duas debeat dotes, res ex illis extantes vindicantur ab iis, qui ex eodem matrimonio nati sunt. In non extantibus praelationem habet dos prior, si ab uxore ejusque descendentibus utriusque sexus petatur.

28) C: ἔστω. R: ἐστι.

29) Priora descripta sunt ex Nov. 2 cap. 5 usque ad verba: μηδ' ὁτιοῦν λαμβανέτω. Reliqua ex Nov. 91 cap. 2. — Harm. IV, 9, 12. 13.

30) R: ῥηθεῖσαν.

31) Summa Nov. 61 cap. 1. — Harm. eod. §. 19.

32) Temere hanc vocem in προικῶν corrigunt: quod tamen et R fecit.

33) B: ἀπό.

34) C: εἰ.

35) Est Theodori summa Nov. 91 cap. 1. Vide Basil. Fabrot. IV p. 453. — Harm. eod. §. 40.

ιε'. Ἡ γυνὴ προτιμάσθω περὶ τὴν προῖκα τῶν προτέρων δανειστῶν τοῦ ἀνδρός [36]).

ιϛ'. Οὐ προτιμᾶται δὲ ἡ γυνὴ τῶν προτέρων δανειστῶν περὶ τὴν προγάμου δωρεάν [37]).

ιζ'. Ἡ γυνὴ προτιμᾶται περὶ τὴν προῖκα τοῦ δημοσίου χρέους, εἰ μήπω προγενέστερον ὑπῆρξεν [38]).

ιη'. Εἰ μὲν ὁ ἀνὴρ παρὰ γνώμην τῆς ἰδίας [39]) γυναικὸς ὑπόθηται τὰ πράγματα αὐτῆς, οὐκ ἔῤῥωται ἡ ὑποθήκη. ἐὰν δὲ συναινούσης αὐτῆς ὑπόθηται, πάλιν ἐμποδίζει τὸ δόγμα ἐὰν εἴδη [40]) ὁ πρὸς τὸν ἄνδρα συναλλάξας. εἰ δὲ ἡ γυνὴ ὁρῶσα τὸν ἄνδρα τὰ ἴδια ὑποτιθέμενον ἐσιώπησεν ἐπίτηδες ὡς ἀπατῆσαι βουλομένη τὸν συναλλάσσοντα τῷ ἀνδρὶ, τότε οὐ βοηθεῖται. ταῖς

15. Mulier in dote prioribus mariti creditoribus praeferatur..

16. Non praefertur mulier prioribus creditoribus in ante nuptias donatione.

17. Mulier in dote debito fiscali praefertur, nisi hoc anterius extiterit.

18. Si quidem vir praeter uxoris suae voluntatem bona ejus oppigneraverit, non valet hypotheca; quod si ea consentiente pigneravit, rursus obstat senatusconsultum, si hoc scivit qui cum marito contraxit. Si vero mulier virum videns res suas oppignerantem de industria tacuerit, utpote contrahentem cum marito decipere

36) Cod. V, 12, 30. — Harm. I, 13, 25.

37) Cod. VIII, 18, 12 §. 2. — Harm. eod. §. 27.

38) Huc videtur pertinere Cod. VII, 73, 2. — Apud Harm. est tit. laud. §. 28. — In Cod. Bodlej. 3399 fol. 68. A hoc caput sic audit: Ἡ γυνὴ προτιμᾶται περὶ τὴν προῖκα τοῦ δημοσίου χρέους, εἰ μὴ προγενέστερον ὑπῆρχε τὸ δημοσίως παρ' αὐτοῦ κεχρεωστημένον. ὥς φησι βι κε' τί. β' κεφ. νη' καὶ βι. λ' τί. α' κεφ. ξθ'. περὶ δωρεῶν μεταξὺ ἀνδρὸς καὶ γυναικὸς, κἂν τοῦ ἀνδρὸς σιωπηρῶς ὑπόκεινται, ὅμως προτιμᾶται τῆς προικὸς τὸ πριμήπιλον (sic). Vide Basil. Fabrot. IV p. 46.

39) Hoc verbum deest in L.

40) C: ἐὰν δὲ εἴδη. R: δόγμα παράκλησις γάρ ἐστι τὸ γινόμενον ἐὰν ἤδη πρὸς τὸν ἄνδρα συναλλάξη.

γὰρ ἀπατωμέναις γυναιξὶ βοηθεῖ τὸ δόγμα, οὐ ταῖς πανούργοις [41]).

ιθ'. Ἐὰν διὰ τὴν τοῦ ἀνδρὸς ἐνοχὴν παρενέβαλεν ἑαυτὴν ἡ γυνὴ ἐν τῷ δεσμῷ τοῦ ἀλλοτρίου συναλλάγματος [42]) *καὶ διὰ τῆς ἰδίας ὑποστάσεως τοῦτον ἀπαλλάξαι τῆς ἐνοχῆς ἐμελέτησεν, εἰ μὲν ὑποσχομένη μὴ κατέβαλεν, οὐδὲ καταβαλεῖν ἔτι ἀπαιτηθήσεται· εἰ δὲ κατέβαλεν, διεκδικεῖν τὸ καταβληθὲν οὐ δύναται, δηλονότι τῶν ἐντελῶν* [43]) *οὖσα* [44]).

κ'. Εἴ τις γυνὴ ἐν δανειακῷ γραμματείῳ συναινέσει τῷ ἰδίῳ ἀνδρὶ ἢ ὑπογράψει καὶ τὴν οἰκείαν [45]) *περιουσίαν ἢ καὶ ἑαυτὴν ἐνοχοποιήσει, οὐδὲν τοιοῦτον ἰσχύει ἢ κρατεῖ· εἴτε ἅπαξ εἴτε πολλάκις τοιοῦτον* [46]) *ὑπὲρ τοῦ αὐτοῦ πράγματος γένηται, εἴτε ἰδικὸν εἴτε δημόσιον εἴη τὸ χρέος· ἀλλ' οὕτως εἶναι, ὡσανεὶ μηδὲ γεγραμμένον ἦν, εἰ μὴ φανερῶς ἀποδειχθῇ, ὅτι τὰ χρήματα εἰς ἰδίας αὐτῆς τῆς γυναικὸς χρείας ἐδανείσθη* [47]).

volens, tum non adjuvatur. Deceptis enim mulieribus subvenit senatusconsultum, non decipientibus.

19. Si mulier propter obligationem viri se interposuit in vinculo alieni contractus eumque ex suis opibus liberare studuit, si quidem hoc pollicita non solvit, nihil amplius ab ea exigetur: quod si solverit, solutum repetere nequit, scilicet si perfectae aetatis suique juris est.

20. Si qua mulier viro suo in mutui instrumento consenserit aut subscripserit suasque facultates aut se ipsam obligaverit, nihil hujusmodi valet vel obtinet: sive hoc semel sive saepius super eodem negotio factum sit, sive privatum sive publicum sit debitum: sed ita se habet, quasi ne scriptum quidem sit, nisi evidenter probetur, pecuniam in propriam ipsius mulieris rem versam esse.

41) Cod. IV, 29, 5. — Harm. eod. §. 16.

42) R: *ἀλλοτρίῳ συναλλάγματι.*

43) C: *ἐντολῶν.*

44) Cod. eod. const. 4. — Harm. §. 15.

45) R: *ἰδίαν.*

46) R: *τὸ τοιοῦτον.*

47) R: *ἐδανείσθησαν.* — Est ex Nov. 134 cap. 8. — Harm. eod. §. 14.

ΤΙΤΛΟΣ ΔΕΚΑΤΟΣ.

Περὶ δωρεῶν μεταξὺ ἀνδρὸς καὶ γυναικός [1]).

α΄. Μεταξὺ ἀνδρὸς καὶ γυναικὸς οὐκ ἔῤῥωται δωρεὰ διὰ τὸν ἔρωτα, καὶ τὸ μὴ ἔχειν αὐτοὺς διαζυγίου πρόφασιν ἐκ τοῦ μὴ δωρεῖσθαι, καὶ [2]) διὰ τὸ μὴ γίνεσθαι τὸν εὔπορον ἄπορον καὶ τὸν ἄπορον εὔπορον [3]).

β΄. Οὐ μόνον ἐπὶ τῶν συνεστώτων γάμων, ἀλλὰ καὶ ἐπὶ τῶν κεκωλυμένων ἀνίσχυροί εἰσιν αἱ δωρεαί [4]).

γ΄. Καὶ οἱ συνυπεξούσιοι τῶν γεγαμημένων, ἐλεύθεροί τε καὶ δοῦλοι, κωλύονται δωρεῖσθαι· καὶ ὑπεξούσιοι τοῖς ὑπεξουσίοις. ὅθεν ἡ γυνή μου τῷ ὑπεξουσίῳ μου υἱῷ οὐκ ἐῤῥωμένως δωρεῖται, εἰ μὴ ἐπὶ τὰ κάστρα ἀπιόντι· ἰδιόκτητον γὰρ αὐτοῦ γίνεται. καὶ ὁ ὑπεξούσιός μου ἐκ τοῦ ἰδιοκτήτου πεκουλίου καλῶς δωρεῖται τῇ γαμετῇ μου. ὁ οὖν ἔχων υἱὸν ὑπεξούσιον [5])

TITULUS DECIMUS.

De donationibus inter virum et uxorem.

1. Inter virum et uxorem non valet donatio propter amorem, et ne praetextum divertendi habeant, quod non donetur, neve locuples pauper et pauper locuples fiat.

2. Non solum in justis nuptiis, sed etiam in prohibitis donationes irritae sunt.

3. Etiam qui in ejusdem potestate sunt cum conjugibus, seu liberi seu servi, donare prohibentur: item qui in potestate sunt [aliis in ejusdem] potestate constitutis. Unde uxor mea filio meo familias non valide donat, nisi in castra eunti: namque castrense peculium fit. Et filius meus familias ex castrensi peculio uxori meae

1) De donationibus inter V. et U. tractat: Dig. XXIV, 1. Cod. V, 16. Harmen. IV, 11.

2) Deest καί in C.

3) P: βι. κδ' τί. α' διατ. α'. — Dig. h. t. dig. 1. 2. 3. — Harm. l. l. §. 1.

4) Dig. h. t. dig. 3 §. 1. — Harm. l. l. §. 2.

5) Omnes Codices: αὐτεξούσιον, quod post Cujacium in ὑπεξ. mutavi. In Codicibus Epanagoges quibusdam legitur: οὐ κεκώλυται, quod haud scio, an Cujacii conjecturae praeferendum sit.

καὶ τῇ ἰδίᾳ γαμετῇ καὶ τῇ νύμφῃ δωρεῖσθαι κεκώλυται [6].

δ'. Ἡ πενθερὰ τῇ νύμφῃ καὶ ἡ νύμφη τῇ πενθερᾷ δωρεῖται. οὐ γὰρ ὕπεστι λόγος της ὑπεξουσιότητος [7].

ε'. Εἰ μὲν μὴ ἔχων πρόθεσιν ὁ ἀνὴρ πωλῆσαι πέπρακε τῇ γυναικὶ διὰ τὸ δωρεῖσθαι αὐτῇ, ἄκυρος ἡ πρᾶσις. εἰ δὲ πωλῆσαι βουλόμενος ὀλίγου πέπρακεν, εἰς ὃ γέγονεν ἡ γυνὴ πλουσιωτέρα, ἀκυροῦται. τυχὸν γὰρ δοῦλον ιε' νομισμάτων ἄξιον ἐπώλησεν εἰς ε' νομίσματα, καὶ νῦν ἄξιός ἐστι ι' νομίσματα· τὰ πέντε δίδωσιν, εἰς ἃ [8]) νῦν ἐστιν εὐπορωτέρα [9]).

ς'. Ἐπὶ τῶν κεκωλυμένων εἰ μὲν φαίνεται τὰ δωρηθέντα, ἐκδικεῖται [10]). εἰ δὲ δεδαπάνηται, ἀπαιτεῖται ὁ δεξάμενος μέχρις οὗ γέγονεν εὐπορώτερος [11]).

ζ'. Καλῶς ἀλλήλοις θανάτου αἰτίᾳ δωροῦνται· εἰς καιρὸν γὰρ ἀναφέρεται ἐν ᾧ ὁ γάμος παύεται, καὶ τῷ

recte donat. Qui itaque filium in potestate habet, et uxori suae et nurui donare prohibetur.

4. Socrus nurui, et nurus socrui donare potest: nulla enim subest potestatis ratio.

5. Si vir animum quidem vendendi non habens uxori vendidit ut illi donaret, irrita est venditio. Sed si vendere cupiens minoris vendidit, in quantum uxor locupletior facta est, infirmatur; puta servum xv aureis dignum vendidit v aureis: nunc autem x aureis dignus est: quinque reddit, quibus nunc locupletior est.

6. In [donationibus] prohibitis, siquidem donata extant, vindicantur: si vero consumta sunt, a donatario repetuntur, quatenus iis locupletior est.

7. Recte sibi invicem mortis causa donant: namque ad tempus refertur, quo matrimonium desinit, et

6) P: διατ. γ' θέ. γ'. — Dig. h. t. dig. 3 §. 2. 3. 4. 5. — Harm. l. l. §. 9.

7) P: θέ. δ'. — Dig. h. t. dig. 3 §. 7. — Harm. l. l. §. 10.

8) Codd. ὅ.

9) P addit: εἰ καὶ ἤμελλε δανείζεσθαι. Idem laudat: διατ. ε' θέ. η'. — Dig. h. t. dig. 5 §. 5. — Harm. l. l. §. 11.

10) L: τὰ δωρ. χρήματα, ἀπαιτεῖται. In margine tamen adscripta est lectio, quam habes in textu.

11) Dig. h. t. dig. 5 §. 18. — Harm. l. l. §. 12.

θανάτῳ τοῦ δωρησαμένου γίνεται τοῦ λαβόντος, ἐν δὲ τῷ μεταξὺ τοῦ δωρησαμένου ἐστίν. πᾶσα δὲ δωρεὰ θανάτου αἰτίᾳ μεταξὺ τῶν συνοικούντων ἔῤῥωται [12]).

η'. Διαζυγίου γενομένου ἢ θανάτου αἰτίᾳ δωρεὰ οὐκ ἔῤῥωται, ἀλλὰ ἀκυροῦται [13]).

θ'. Καλῶς δωροῦμαι τῇ γαμετῇ μου τὸ ἀρκοῦν πρὸς ἀνανέωσιν τοῦ καυθέντος αὐτῆς οἴκου [14]).

ι'. Αἱ πρὸ τοῦ γάμου δωρεαὶ ἰσχύουσι, κἂν ἐν αὐτῇ τῇ ἡμέρᾳ γαμηθῶσιν [15]).

ια'. Οὐ λαμβάνει ὁ ἀνὴρ, εἴ τι ἐδαπάνησεν εἰς τοὺς τεχθέντας ἐκ τῶν προικιμαίων δούλων, ἢ δέδωκεν εἰς μάθησιν αὐτῶν ἢ εἰς τροφάς· τῇ γὰρ ὑπηρεσίᾳ αὐτῶν κέχρηται. τὸ δὲ δοθὲν ταῖς τροφαῖς [16]) αὐτῶν λαμβάνει, ὡς ἐπὶ σωτηρίᾳ δοθέν· ὃν τρόπον εἰ παρὰ λῃστῶν τοὺς προικιμαίους ἀναῤῥύσηται δούλους [17]).

morte donantis acquiritur donatario, medio autem tempore donantis est. Omnis igitur mortis causa donatio inter conjuges valet.

8. Divortio facto mortis causa donatio non valet, sed infirmatur.

9. Recte uxori meae dono quod ad reparationem domus ejus exustae sufficit.

10. Ante nuptias donationes valent, licet eodem die nuptiae fiant.

11. Vir non recipit, si quid in natos ex dotalibus ancillis impendit, aut pro doctrina vel alimentis eorum dedit: illorum enim opera utitur. Quod vero eorum nutricibus dedit, repetit, utpote salutis causa datum: quemadmodum si a praedonibus servos redemisset dotales.

12) P: διατ. θ' . . . . — Dig. h. t. dig. 9 §. 2. dig. 10. 11 pr. §. 1. — Harm. l. l. §. 13. 14.

13) Dig. h. t. dig. 11 §. 10. — Harm. l. l. §. 14.

14) P: διατ. ιδ'. — Dig. h. t. dig. 14. — Harm. l. l. §. 15.

15) P: διατ. κζ'. — Dig. h. t. dig. 27. — Harm. l. l. §. 16.

16) Reitzius mavult: ταῖς τροφοῖς.

17) P: διατ. κη' θέ. β'. — Dig. h. t. dig. 28 §. 1. — Harm. II, 3, 7.

ιβ΄. Ἐὰν ἥττονα τῶν ιβ΄ ἐνιαυτῶν ἀγαγόμενός τις δωρήσηται αὐτῇ, εἰ μὲν προϋπῆν μνηστεία, μένει καὶ ὡς πρὸς μνηστὴν ἡ δωρεὰ ἔῤῥωται. εἰ δὲ μὴ προῆν μνηστεία, ἄκυρος ἡ δωρεά. οὐ γὰρ πρὸς ἐξωτικὴν, ἀλλ' ὡς πρὸς γαμετὴν ἐγένετο [18]).

ιγ΄. Ἐὰν δωρεᾶς ἐν γάμῳ γενομένης συμβῇ συναποθανεῖν τὸν ἄνδρα καὶ τὴν γυναῖκα, οὐδέτερος ἐνάγει, ἐπειδὴ οὐδεὶς αὐτῶν ἐπέζησε τῷ ἑτέρῳ [19]).

ΤΙΤΛΟΣ ἙΝΔΕΚΑΤΟΣ.

Περὶ λύσεως γάμου καὶ τῶν αἰτιῶν αὐτοῦ.

α΄. Ἐπειδὴ πολλὰς ἐν τοῖς παλαιοῖς νόμοις εὕρομεν αἰτίας, ἐξ ὧν εὐχερῶς αἱ τῶν γάμων διαλύσεις γίνονται, τούτου ἕνεκα [1]) συνείδομεν ἐκ τούτων περιελεῖν [2]) τινας, αἵπερ ἡμῖν ἀνάξιοι πρὸς τὸ διαλύειν γάμους ἐφάνησαν, καὶ ταύτας μόνον ὀνομαστὶ τῷ παρόντι

12. Si minorem duodecim annis aliquis duxerit eique donaverit, si quidem sponsalia praecesserint, durant et tanquam sponsae facta donatio valet: si vero non praecesserint sponsalia, irrita est donatio: non enim extraneae, sed tamquam uxori facta est.

13. Si donatione constante matrimonio facta eveniat, ut maritus et uxor commoriantur, neuter agit: siquidem neuter eorum alteri supervixit.

TITULUS UNDECIMUS.

De solutione matrimonii ejusque causis.

1. Quoniam multas in legibus antiquis reperimus causas, ex quibus facile matrimonii dissolutiones fiunt, ideo quasdam ex iis statuimus tollere, quae nobis indignae sunt visae ad dissolvenda matrimonia, et eas

18) Dig. h. t. dig. 32 §. 27. — Harm. l. l. §. 18. — Harm. IV, 11, 17.
19) Dig. h. t. dig. 32 §. 14.

1) B: χάριν.
2) C: περιελθεῖν.

ἐντάξαι νόμῳ, ὑπὲρ ὧν εὐλόγως τοὺς γάμους δίχα ποινῆς ἔξεστι διαλύειν [3]).

β'. Διαλύεται ὁ γάμος κατὰ πρόφασιν ἀναγκαίαν τε καὶ οὐκ ἄλογον, ὅταν τὶς οὐχ οἷός τε εἴη [4]) συνιέναι τῇ γυναικὶ καὶ τὰ παρὰ τῆς φύσεως ἀνδράσι δεδομένα πράττειν, ἀλλὰ τριετία μὲν παραδράμοι ἐκ τοῦ τῶν γάμων καιροῦ, ὁ δὲ [5]) ὅτι ταῖς ἀληθείαις ἔστιν ἀνὴρ [6]) οὐ δεικνύοι [7]). πάρεστι γὰρ τῇ γυναικὶ ἢ τοῖς γε αὐτῆς πατρᾶσι [8]) διαζευγνύναι τὸ συνοικήσιον [9]) καὶ στεῖλαι διάλυσιν, κἂν εἰ μὴ βούλοιτο τοῦτο ὁ συνοικῶν. κἀνταῦθα ἡ μὲν προῖξ, ἥτις ἐστὶν ὅλως ἐπιδεδομένη, ἀκολουθήσει τῇ γυναικὶ καὶ ἀποδώσει ταύτην ὁ ἀνὴρ, εἴγε τύχοι λαβών. ἡ δὲ διὰ τὸν γάμον [10]) ἤτοι πρὸ τῶν γάμων δωρεὰ μένει [11]) παρὰ τῷ ἀνδρὶ, οὐδὲν οἴκοθεν ζημιουμένῳ [12]).

γ'. Θεσπίζομεν καὶ τὸν ἐν αἰχμαλωσίᾳ [13]) διαλύεσθαι τοῦ γάμου, οὐχ ἁπλῶς καὶ ὡς ἔτυχεν, ἀλλ'

tantum nominatim praesenti legi inserere, ob quas cum ratione et absque poena matrimonia solvere licet.

2. Solvitur matrimonium ob causam necessariam nec irrationabilem, quum quis ineptus fuerit cum uxore coire, et quae a natura viris tributa sunt praestare, si quidem triennium praeterierit a nuptiarum tempore nec ipse se virum re vera esse probaverit. Tunc enim mulieri aut parentibus ejus matrimonium dissolvere licet et mittere repudium, etiamsi hoc nolit maritus. Atque hic dos, si qua omnino data est, mulierem sequetur eamque maritus reddet, si acceperit. Propter nuptias autem sive ante nuptias donatio apud maritum manet, nullum in suis rebus dispendium passurum.

3. Sancimus etiam, ut, qui in captivitate est, matrimonio solvatur, nec tamen simpliciter aut temere,

3) P: νεαρὰ ριζ'. — Nov. 117 c. 8 pr. — Harm. IV, 12 §. 1.

4) B: ἢ.

5) C: οὐδέ.

6) R: ὁ ἀνήρ.

7) C: δεικνύει.

8) R: γονεῦσι.

9) In Codicibus συνοικέσιον et συνοικήσιον promiscue scribitur.

10) C: τῶν γάμων.

11) B: μενεῖ.

12) Nov. 22 c. 6. — Harm. eod. §. 2.

13) R addit ὄντα.

ἕως μὲν ἐστι φανερὸν [14]) περιεῖναι ἢ τὸν ἄνδρα ἢ τὴν γυναῖκα [15]), μένειν ἄλυτα τὰ συνοικήσια συγχωροῦμεν, καὶ οὐκ ἐλεύσονται [16]) πρὸς δευτέρους γάμους οὔτε γυναῖκες οὔτε ἄνδρες, εἰ μὴ βούλοιντο δοκεῖν κατὰ προπέτειαν τοῦτο πρᾶξαι καὶ ὑποπεσεῖν ταῖς ποιναῖς, ὁ μὲν τῇ [17]) τῆς προγάμου δωρεᾶς φαμεν ἐκτίσει, ἡ δὲ [18]) τῆς προικός. εἰ δὲ καθεστήκοι ἄδηλον [19]), πότερον περίεστιν ἢ μὴ τὸ [20]) εἰς πολεμίους [21]) ἀφικόμενον πρόσωπον, τηνικαῦτα πενταετίαν μενετέον εἴτε τῷ ἀνδρὶ εἴτε τῇ γυναικὶ, μεθ' ἣν, εἴτε σαφῆ γένοιτο τὰ τῆς τελευτῆς εἴτε ἄδηλα μένοι, γαμεῖν ἔξεστιν ἀκινδύνως, ὥστε ἐνταῦθα οὐδὲ διαισίῳ [22]) γίνεται καιρὸς, οὕτω [23]) τῶν προσώπων διεστώτων ἀλλήλων [24]). καὶ οὐδεὶς ἐνταῦθα κερδαίνει, οὔτε ὁ ἀνὴρ τὴν προῖκα οὔτε ἡ γυνὴ τὴν προγαμιαίαν δωρεὰν, ἀλλ' ἕκαστος ἐπὶ τῶν οἰκείων μένει [25]).

δ'. Ἐπειδὴ δὲ καὶ κατὰ συναίνεσιν ἢ καὶ διὰ σω-

sed donec certum est aut virum superesse aut mulierem, indissoluta matrimonia manere sancimus, neque venient ad secundas nuptias aut mulieres aut viri, nisi malint videri per temeritatem fecisse et poenis subdi, hic scilicet donationis ante nuptias persolutioni, illa vero dotis. Si vero incertum existat, utrum superest persona inter hostes delapsa nec ne, tunc quinquennium expectandum est sive viro sive mulieri, quo exacto, sive de morte constet, sive incertum maneat, nuptias sine periculo contrahere licet, ita ut nec repudio hic opus sit, ita inter se invicem disjunctis personis: et neuter inde lucratur, nec vir dotem nec mulier ante nuptias donationem, sed uterque bona sua retinet.

4. Quoniam vero etiam per consensum aut casti-

14) C: φανερῶς.
15) L: γαμετήν.
16) C: ἐλεύσωνται.
17) R τῇ non habet.
18) R: τῇ τῆς.
19) C: καθ. ἄδ.
20) C: τὸ μή.
21) R: εἰς τοὺς πολέμους.
22) M in margine: σημ. διαζυγίου.
23) C et L: οὔτε.
24) C: ἀδήλων.
25) B: μενεῖ. P: μενέτω. — Nov. 22 cap. 7. — Harm. eod. §. 3.

φροσύνην ἐλύετο ὁ γάμος, θεσπίζομεν μὴ ἄλλως πως ἢ παρευθὺ ἑκάτερα [26]) μέρη προσέρχεσθαι τῷ μονήρει βίῳ, ἀζημίων δηλονότι φυλαττομένων αὐτῶν [27]).

έ. Τὰς αἰτίας [28]), ἐξ ὧν ὁ ἀνὴρ χωριζόμενος τὴν προῖκα τῆς γυναικὸς ἀποκερδαίνειν δύναται φυλαττομένης τῆς ἐπ' αὐτῇ [29]) δεσποτείας τοῖς ἐκ τοῦ αὐτοῦ γάμου παισὶν, ἢ παίδων οὐκ ὄντων ἀπολαύειν αὐτὸν [30]) καὶ τῆς δεσποτείας, ταύτας εἶναι διατυποῦμεν [31]).

ϛ'. Εἰ κατὰ τῆς βασιλείας βουλομένοις [32]) τισι σύνοιδεν ἡ γυνὴ καὶ τῷ ἰδίῳ ἀνδρὶ μὴ φανερώσῃ. εἰ δὲ ὁ ἀνὴρ τοῦτο παρὰ τῆς γυναικὸς προσαγγελθὲν σιωπήσῃ, ἐξέστω τῇ γυναικὶ δι' οἱουδήποτε προσώπου τοῦτο προσαγγέλλειν τῇ βασιλείᾳ, ὥστε τὸν ἄνδρα μηδεμίαν ἐκ ταύτης τῆς αἰτίας λύσεως γάμου εὑρεῖν πρόφασιν.

tatis causa matrimonium solvebatur, sancimus ne hoc alio fiat modo, nisi confestim utraque pars ad solitariam vitam accesserit: ut scilicet sic indemnes serventur.

5. Causas, ob quas vir divertens dotem uxoris lucrari possit dominio illius liberis ex eodem matrimonio servato, aut liberis non extantibus et ipse frui proprietate, has esse statuimus:

6. Si quibus contra imperium quid molientibus uxor conscia fuerit, nec marito indicaverit: si vero vir hoc ab uxore denuntiatum tacuerit, mulieri licet id per quamcunque personam majestati denuntiare, ut ne vir ullum ex hac causa dirimendi matrimonii praetextum habeat.

26) B: τὰ ἑκάτ.

27) Harm. §. 11 in fine. — Interpretes adducunt Nov. 117 c. 10. Verum in Cod. Bodlej. 3399 dicitur esse: τῆς νεαρᾶς διατάξεως βασιλείου καὶ λέοντος καὶ ἀλεξάνδρου. Ea enim rubrica superscribitur huic capiti et videtur innuere τὴν ἐπαναγωγὴν τοῦ νόμου a Basilio, Leone et Alexandro profectam, in qua sane idem caput extat.

28) B: Τὰς δ' αἰτ.

29) C: αὐτῆς.

30) Codd.: αὐτούς.

31) Hoc caput, et quae sequuntur usque ad cap. 11 ex Nov. 117 cap. 8 desumta sunt. Harm. eod. §. 13.

32) B: κατὰ βασιλέως βουλευομένοις.

ζ'. Εἰ περὶ μοιχείας ὁ ἀνὴρ νομίσοι δύνασθαι τὴν ἑαυτοῦ γαμετὴν ἐλεγχθῆναι [33]), προσήκει τὸν ἄνδρα πρότερον ἐγγράφεσθαι τὴν γυναῖκα ἢ καὶ τὸν μοιχόν· καὶ εἴπερ ἡ τοιαύτη κατηγορία ἀληθὴς ἀποδειχθῇ, τηνικαῦτα χωρισμοῦ γενομένου [34]) ἔχειν τὸν ἄνδρα πρὸς τῇ προγάμου δωρεᾷ καὶ τὴν προῖκα, καὶ πρὸς τούτοις, εἰ παῖδας μὴ ἔχοι, τοσοῦτον λαμβάνειν ἐκ τῆς ἄλλης τῆς γυναικὸς περιουσίας, ὅσον τῆς προικὸς τὸ τρίτον μέρος εἶναι γινώσκεται· ὥστε τῇ [35]) αὐτοῦ δεσποτείᾳ καὶ τὴν προῖκα καὶ τὴν παρ' ἡμῶν ὁρισθεῖσαν ποινὴν προσκυροῦσθαι. εἰ γὰρ παῖδας ἔχοι ἐκ τοῦ αὐτοῦ συνοικησίου, κελεύομεν καὶ τὴν προῖκα καὶ τὴν ἄλλην τῆς γυναικὸς περιουσίαν κατὰ τοὺς ἔμπροσθεν ὡρισμένους νόμους τοῖς παισὶ φυλάττεσθαι, καὶ οὕτως τὸν μοιχὸν ὁμοίως [36]) ἐλεγχόμενον ἅμα τῇ γυναικὶ τιμωρεῖσθαι. καὶ εἰ μὲν ἔχοι ὁ μοιχὸς γυναῖκα, λαμβάνειν αὐτὴν τὴν ἰδίαν προῖκα καὶ τὴν διὰ τοὺς γάμους δωρεάν, ὥστε, εἰ παῖδας ἔχοιεν, μόνης τὴν γυναῖκα τῆς χρήσεως ἀπολαύειν τῆς δωρεᾶς, τῆς δεσποτείας κατὰ τοὺς νόμους τοῖς παισὶ φυλαττομένης· τὴν δὲ ἄλλην τοῦ ἀνδρὸς περιουσίαν τοῖς αὐτοῦ παισὶ δωρούμεθα. παίδων δὲ μὴ ὑπόν-

7. Si vir putet uxorem suam adulterii convinci posse, oportet eum prius accusare mulierem, aut etiam adulterum: atque si illa accusatio vera esse probetur, tunc facto divortio vir praeter ante nuptias donationem habeat et dotem: et insuper, si liberos non habet, tantum ex alia mulieris substantia accipiat, quantum triens dotis facere comperiatur, ut ejus dominio et dos et praefinita a nobis poena acquiratur. Si vero ex eodem conjugio liberos habet, jubemus et dotem et aliam mulieris substantiam secundum antea statutas leges liberis reservari: et sic adulterum similiter convictum una cum muliere puniri. Et siquidem uxorem habeat adulter, ipsa suam dotem capiat et propter nuptias donationem, ita ut, si liberos habeant, solo mulier usufructu donationis gaudeat, reservata secundum jura liberis proprietate: reliquam vero viri substantiam liberis ejus dona-

33) B: ἐλέγχειν.
34) B: γινομ.
35) C: ἡ — δεσποτεία.
36) L: ὁμοίως.

Digitized by Google

των, τὴν μὲν τῆς [37]) προγαμιαίας δωρεᾶς δεσποτείαν τῇ γυναικὶ διαφέρειν θεσπίζομεν, τὴν δὲ ἄλλην τοῦ ἀνδρὸς περιουσίαν πᾶσαν [38]) τῷ φίσκῳ [39]) κατὰ τοὺς παλαιοὺς προσκυροῦσθαι νόμους.

η'. Ἐὰν οἱῳδήποτε τρόπῳ ἡ γυνὴ τῇ ζωῇ τοῦ ἀνδρὸς ἐπιβουλεύσῃ ἢ ἄλλοις τοῦτο ποιοῦσι συνειδυῖα τῷ ἀνδρὶ μὴ φανερώσῃ [40]).

θ'. Ἐὰν ἀνδράσι μὴ βουλομένου τοῦ ἀνδρὸς ἐξωτικοῖς συμποσιάζῃ ἢ συλλούηται.

ι'. Ἐὰν μὴ βουλομένου τοῦ ἀνδρὸς ἔξω τοῦ οἴκου [41]) μείνῃ, εἰ μήτοιγε [42]) τυχοῦσα [43]) παρὰ τοῖς ἰδίοις γονεῦσιν.

ια'. Ἐὰν ἱππικοῖς ἢ θεάτροις ἢ κυνηγίοις [44]) παραγενήσηται ἐπὶ τῷ [45]) θεωρῆσαι, ἀγνοοῦντος ἢ κωλύοντος τοῦ ἀνδρός.

ιβ'. Ἐὰν δὲ συμβῇ τινα [46]) δίχα μιᾶς τῶν προει-

mus. Liberis autem non extantibus, antenuptialis quidem donationis proprietatem ad mulierem pertinere statuimus, omnem vero aliam viri substantiam fisco secundum veteres leges acquiri.

8. Si quocunque modo uxor mariti vitae insidiata aut aliis hoc agentibus conscia fuerit, nec marito indicarit.

9. Si cum viris extraneis non volente marito convivetur aut lavetur.

10. Si viro invito extra domum maneat, nisi forte apud parentes fuerit.

11. Si ludis equestribus vel theatris vel venationibus spectandi causa interfuerit, invito aut prohibente marito.

12. Sed si acciderit, ut quis citra unam dictarum

37) B: τῆς μὲν πρ.
38) R: ὅλην περιουσίαν.
39) L: τῷ δημοσίῳ.
40) C addit: διαλύεται ὁ γάμος.
41) C: οἰκείου.
42) C: μέντοιγε.
43) R: τυχόν.
44) C: κυνηγεσίοις. R in margine: κυνήγιον λέγει τόπον, ἔνθα τὸ πάλαι ἐθηριομάχουν.
45) L: πρὸς τό.
46) R: τινας.

ρημένων αἰτιῶν τὴν ἑαυτοῦ γαμετὴν τοῦ ἰδίου οἴκου ἐξωθήσασθαι [47]), *ὥστε ἐκείνη μὴ ἔχουσα* [48]) *πρὸς οὓς δύναται μένειν ἐξανάγκης ἔξω τὴν νύκτα διάγειν, κελεύομεν μηδεμίαν εἶναι τῷ ἀνδρὶ ἄδειαν διὰ ταύτην τὴν αἰτίαν χωρισθῆναι τῆς γυναικὸς, διότιπερ* [49]) *αὐτὸς τούτου αἴτιος γίνεται.*

ιγ'. Τὰς *αἰτίας, δι' ὧν εὐλόγως δύναται ἡ γυνὴ τοῦ ἀνδρὸς χωρισθῆναι, καὶ ἐξ ὧν δύναται τήν τε προῖκα λαμβάνειν, καὶ τὴν διὰ τοὺς γάμους ἀπαιτεῖν δωρεὰν, ὁμοίως τοῖς παισὶ φυλαχθησομένης τῆς ἐπὶ τῇ δωρεᾷ δεσποτείας, ἢ παίδων μὴ ὄντων ἔχειν καὶ τὴν αὐτῆς* [50]) *δεσποτείαν, ταύτας εἶναι διατυποῦμεν·*

ιδ'. Ἐὰν *κατὰ τῆς βασιλείας ἢ αὐτὸς βούληταί τι, ἢ τοῦτό τισι βουλομένοις συνειδὼς μὴ φανερώσῃ τῇ βασιλείᾳ ἢ δι' ἑαυτοῦ ἢ οἱουδήποτε προσώπου.*

ιε'. Ἐὰν *οἱῳδήποτε τρόπῳ ὁ ἀνὴρ ἐπιβουλεύσῃ τῇ ζωῇ τῆς γυναικὸς, ἢ ἄλλων τοῦτο βουλομένων εἰδὼς*

causarum uxorem suam domo expellat, atque ea, non habens apud quos manere possit, necessario foris pernoctare cogatur, nullam sancimus viro esse potestatem propter hanc causam ab uxore divertere, quandoquidem ipse hanc causam praebuit.

13. Causas, propter quas mulier jure a marito divertere potest, et ex quibus et dotem recipere potest et propter nuptias donationem exigere, liberis similiter proprietate donationis reservanda, aut liberis haud extantibus et ipsa illius habere dominium, has esse sancimus:

14. Si aut ipse quid contra imperium machinetur aut aliis machinantibus conscius majestati non aperuerit, sive per se sive per aliam quamcunque personam.

15. Si quacunque ratione vir uxoris vitae insidias struxerit, aut aliis struentibus conscius uxori haud indi-

47) R: ἐξωθῆσαι.

48) R: ἐκείνην μὴ ἔχουσαν γονεῖς.

49) C: διόπερ.

50) L: ταύτης. R: ταύτην. Hoc caput et sequentia usque ad cap. 18 ex Nov. 117 cap. 9 desumta sunt. — Harmenopulo §. 14.

μὴ φανερώσῃ τῇ γυναικὶ καὶ σπουδάσῃ κατὰ τοὺς νόμους ἐκδικῆσαι [51]).

ιϛʹ. Ἐὰν ὁ ἀνὴρ τῇ τῆς γυναικὸς σωφροσύνῃ ἐπιβουλεύων ἄλλοις ταύτην [52]) εἰς τὸ μοιχευθῆναι ἐπιχειρήσῃ προδοῦναι.

ιζʹ. Ἐὰν ὁ ἀνὴρ περὶ μοιχείας τῆς ἑαυτοῦ [53]) γυναικὸς ἐγγράψηται καὶ τὴν μοιχείαν μὴ ἀποδείξῃ, ἐξεῖναι τῇ γυναικὶ βουλομένῃ καὶ ὑπὲρ ταύτης τῆς αἰτίας χωρίζεσθαι τοῦ ἀνδρὸς, καὶ ἀπολαμβάνειν μὲν τὴν ἰδίαν προῖκα, κομίζεσθαι δὲ καὶ τὴν προγαμιαίαν δωρεὰν, καὶ ὑπὲρ τῆς τοιαύτης συκοφαντίας, εἰ παῖδας μὴ ἔχοι [54]) ἐκ τοῦ αὐτοῦ συνοικησίου, τοσοῦτον λαμβάνειν αὐτὴν ἐκ τῆς ἄλλης τοῦ ἀνδρὸς περιουσίας, ὅσον τῆς προγαμιαίας δωρεᾶς τὸ τρίτον μέρος εἶναι γινώσκεται. εἰ γὰρ παῖδας [55]) ἔχοι, κελεύομεν πᾶσαν τὴν [56]) τοῦ ἀνδρὸς περιουσίαν τοῖς παισὶ φυλάττεσθαι, βεβαίων μενόντων [57]) τῶν περὶ τῆς προγαμιαίας δωρεᾶς, τῶν [58]) τοῖς ἄλλοις περιεχομένων νόμοις, οὕτω

carit, nec studuerit [structas uxori suae insidias] secundum leges ulcisci.

16. Si vir castitati uxoris insidians aliis eam adulterandam prostituere tentaverit.

17. Si vir uxorem suam de adulterio accusaverit neque accusationem probaverit, licebit mulieri, si volet, etiam ob hanc causam a marito divertere, et suam non modo dotem recipere, sed et antenuptialem donationem consequi, et pro hac calumnia, siquidem liberos ex hoc conjugio non habeat, tantum ferre ex reliqua viri substantia, quantum antenuptialis donationis tertia pars esse comperietur. Nam si liberos habeat, jubemus omnia viri bona liberis servari, firmis manentibus circa antenuptialem donationem juribus, quae aliis legibus

51) B: ἵνα κατὰ τ. ν. ἐκδικηθῇ.

52) B: αὐτήν.

53) B: αὐτοῦ.

54) B: ἔχοιεν.

55) R: παῖδα.

56) B τὴν non habet.

57) L: μὲν ὄντων.

58) L et R hoc τῶν non habent. Et Reitz vel hoc vel prius τῶν superfluum judicat: nobis tamen utrumque et recte et elegantius dici videtur.

μέντοιγε, ὥστε καὶ διὰ τὴν ἐπαχθεῖσαν τῆς μοιχείας κατηγορίαν καὶ μὴ ἀποδειχθεῖσαν κἀκείναις τὸν ἄνδρα ταῖς τιμωρίαις ὑποβληθῆναι, ἃς ἔμελλεν ὑπομένειν ἡ γυνὴ, εἴπερ ἂν ἡ τοιαύτη ἀπεδείχθη κατηγορία.

ιη΄. Ἐὰν ὁ ἀνὴρ ἐν τῷ αὐτῷ οἴκῳ, καθ᾽ ὃν μετὰ τῆς αὐτοῦ γυναικὸς συνοικῇ [59]), περιφρονῶν αὐτῇ μεθ᾽ ἑτέρας εὑρίσκηται ἐν τῷ αὐτῷ οἴκῳ μένων, ἢ καὶ κατὰ τὴν αὐτὴν πόλιν διάγειν ἐν ἑτέρῳ οἴκῳ μετὰ ἄλλης γυναικος συνεχῶς [60]) μένων ἐλέγχηται, καὶ ἅπαξ καὶ δὶς ἐγκληθεὶς ἢ διὰ τῶν ἑαυτοῦ [61]) γονέων ἢ διὰ τῶν τῆς γυναικὸς ἢ δι᾽ ἑτέρων τινῶν ἀξιοπίστων μαρτύρων τῆς τοιαύτης ἀσελγείας μὴ ἀπόσχηται, ἐξεῖναι τῇ γυναικὶ καὶ ὑπὲρ ταύτης τῆς αἰτίας [62]) διαλύειν τὸν γάμον καὶ ἀναλαμβάνειν τὴν δεδομένην προῖκα καὶ τὴν πρὸ γάμου δωρεὰν, καὶ ὑπὲρ τῆς τοιαύτης ὕβρεως τὸ τρίτον μέρος τῆς διατιμήσεως, ἣν ἡ προγαμιαία ποιεῖ δωρεὰ, ἐκ τῆς ἄλλης αὐτοῦ περιουσίας λαμβάνειν. οὕτω μέντοιγε ὥστε, εἰ παῖδας ἔχοι, τῆς χρήσεως μόνης ἀπολαύειν τὴν γυναῖκα τῶν πραγμάτων, ἅπερ ἐκ τῆς προγαμιαίας δω-

comprehensa sunt: ita tamen, ut propter illatam, non vero probatam adulterii accusationem vir iisdem subdatur poenis, quas mulier sustinere debuisset, si talis accusatio probata fuisset.

18. Si vir in iisdem aedibus, in quibus cum uxore cohabitat, illam adspernatus cum alia inveniatur in eadem domo conversans, aut in eadem urbe degens in alia domo cum alia muliere perpetuo conversari arguatur, et semel et bis aut a suis aut ab uxoris parentibus aut ab aliis quibusdam fide dignis testibus reprehensus tali lascivia non abstineat, liceat mulieri etiam ob hanc causam matrimonium dirimere datamque dotem recipere et ante nuptias donationem, et pro hac contumelia tertiam partem aestimationis, quam antenuptialis efficit donatio, ex aliis illius bonis capere. Ita tamen, ut, si liberos habeat, solo usufructu mulier fruatur earum rerum, quae ex antenuptiali donatione et ex poena trien-

59) B: συνοικεῖ. Bodl. 3399: ἐν τῷ οἴκῳ καθ᾽ ἓν μετὰ τ. αὐ. γ. περιφρ.

60) Deest in R.

61) B: αὐτοῦ.

62) B: ταύτην τὴν αἰτίαν.

ῥεᾶς καὶ τῆς ποινῆς τοῦ τρίτου μέρους τῆς τοῦ ἀνδρὸς περιουσίας λάβοι, τῆς δεσποτείας τοῖς κοινοῖς [63]) παισὶ φυλαττομένης. εἰ γὰρ παῖδας [64]) μὴ ἔχοι ἐκ τοῦ αὐτοῦ συνοικησίου, ἔχειν αὐτὴν τῶν τοιούτων πραγμάτων καὶ τὴν δεσποτείαν κελεύομεν.

ιθ'. Εἴτε στρατιῶται εἶεν εἴτε φοιδεράτοι εἴτε σχολάριοι εἴτε ἄλλοι τινὲς ὑφ' ἑτέραν οἱανοῦν στρατείαν ἔνοπλον καταλεγόμενοι, κελεύομεν ὁσουσδήποτε ἐνιαυτοὺς ἐν ἐξπεδίτῳ μένωσι [65]) περιμένειν τὰς τούτων γαμετὰς, κἂν μὴ γράμματα ἢ ἀπόκρισίν τινα παρὰ τῶν ἰδίων ἀνδρῶν δέξωνται [66]).

κ'. Εἰ δέ τις ἐκ [67]) τῶν τοιούτων γυναικῶν τὸν ἴδιον ἄνδρα ἀκούσῃ τετελευτηκέναι, οὐδέποτε [68]) εἰς ἑτέρους αὐτὴν ἐλθεῖν γάμους ἐπιτρέπομεν, εἰ μὴ πρότερον παραγενήσηται [69]) ἡ γυνὴ δι' ἑαυτῆς [70]) ἢ διὰ τῶν ἰδίων γονέων ἢ δι' ἄλλου οἱουδήποτε προσώπου πρὸς τοὺς [71]) χαρτουλαρίους καὶ ληγαταρίους [72]) καὶ τρι-

tis bonorum mariti ab ipsa acceptae fuerint, dominio communibus liberis servando. Si vero liberos non habeat ex eo conjugio, illam harum rerum etiam dominium habere jubemus.

19. Sive milites sint sive foederati sive scholares sive alii sub alia qualibet militia armata constituti, jubemus, quotcunque demum annis in expeditione maneant, uxores eorum exspectare, licet nec literas aut responsum aliquod a maritis acceperint.

20. Sed si qua ex his mulieribus audierit suum obiisse maritum, nequaquam ad alias eam transire permittimus nuptias, nisi prius mulier vel per se vel per parentes vel per aliam quamlibet personam adierit chartularios et legatos et tribunos numeri, in quo ma-

63) R: ἐκείνης.
64) B: παῖδα.
65) C: μένουσι.
66) Haec et sequentia sumta sunt ex Nov. 117 cap. 11. — Harm. §. 16.
67) In B ἐκ deest.
68) B: οὐδὲ τότε. Cod. Bodlej. 3399: οὐδέπω.
69) R: παραγένηται.
70) C: αὐτῆς.
71) Bodlej. 3399 in margine: πρὸς τοὺς πρόωρας.
72) Sic Codd. et Bodl. 3399. Codices Epanagoges auctae: λεγαρίους. Reitz emendavit: ληγάτους.

βούνους τοῦ ἀριθμοῦ, ἐν ᾧ ταύτης ὁ ἀνὴρ ἐστρατεύετο, καὶ ἐρωτήσῃ, εἰ ταῖς ἀληθείαις ἐτελεύτησεν ὁ αὐτῇ [73]) συνοικήσας, ὥστε ἐκείνους τῶν ἁγίων εὐαγγελίων προκειμένων ἐπὶ πράξεως ὑπομνημάτων καταθέσθαι, εἰ ταῖς ἀληθείαις ὁ ἀνὴρ τετελεύτηκεν. καὶ μεθ' ὃ ταῦτα πράξει ἐπὶ ὑπομνημάτων ἀναληφθέντα ἡ γυνὴ ὑπὲρ τῆς ἰδίας μαρτυρίας ἐκλάβῃ [74]), καὶ μετὰ ταῦτα κελεύομεν μένειν αὐτὴν ἑνὸς ἐνιαυτοῦ διάστημα, ὥστε μετὰ τὴν αὐτοῦ παραδρομὴν ἐξεῖναι τῇ αὐτῇ νομίμως συναλλάσσειν γάμον [75]). εἰ δὲ παρὰ ταύτην τὴν παρατήρησιν ἡ γυνὴ τολμήσει εἰς ἕτερον ἐλθεῖν γάμον, καὶ αὐτὴ καὶ ὁ ἀγόμενος αὐτὴν εἰς γάμον ὡς μοιχοὶ τιμωρείσθωσαν.

κα'. Εἰ δὲ οἱ ἐπὶ πράξεως ὑπομνημάτων μεθ' ὅρκου καταθέμενοι ἐλεγχθῶσι μετὰ ταῦτα πλαστῶς καταθέμενοι, αὐτοὶ μὲν τῆς στρατείας γυμνούμενοι δέκα χρυσίου λιτρῶν ποινὴν συνελασθήσονται [76]) καταβαλεῖν ἐπ' ἐκεῖνον, ὃν ἐψεύσαντο τετελευτηκέναι αὐτὸς

ritus ejus militabat, et quaesiverit, num re vera obierit qui ipsi cohabitavit, ita ut illi propositis sacris evangeliis sub confectione actorum deponant, an re vera vir mortuus sit. Et postquam haec actu in monumentis recepta pro suo testimonio mulier acceperit, etiam posthaec jubemus eam unius anni spatium exspectare, ut post ejus decursum illi liceat matrimonium rite contrahere. Quodsi praeter hanc observationem mulier ad alias venire nuptias audeat, et ipsa et qui eam ducit ut adulteri puniantur.

21. Sed si qui sub confectione actorum cum jurejurando deposuerunt postea deprehendantur falso deposuisse, ipsi quidem militia exuti decem auri librarum poenam compellentur ei persolvere, quem obiisse men-

73) L: ταύτῃ. Verborum similitudine deceptus R verba: ἐτελεύτησεν — ταῖς ἀληθείαις omittit.

74) B: ἐκλάβοι. Bodl. 3399: καὶ μετὰ τὸ ταῦτα πρᾶξαι ὑπομνημάτων ἀναληφθ. — ἐκβαλεῖν. In fontibus est: πράξει, τὰ ὑπομνήματα ἀναλ.

75) R: γάμῳ.

76) B: συνελαθήσονται.

δὲ ἄδειαν ἐχέτω, εἰ βουληθείη, τὴν ἰδίαν γαμετὴν ἀναλαμβάνειν [77]).

ΤΙΤΛΟΣ ΔΩΔΕΚΑΤΟΣ.

Περὶ δωρεῶν [1]).

α'. Τῶν δωρεῶν αἱ μέν εἰσιν ἐν ζωῇ γινόμεναι, καὶ πρὸς ζωὴν τὴν χάριν καὶ τὴν εὐεργεσίαν γνωρίζουσαι καὶ τὴν εὐγνωμοσύνην ἐπιζητοῦσαι· αἱ δὲ ἐν αἰτίᾳ θανάτου γινόμεναι, καὶ μετὰ τὸν ὡς εἰπεῖν αἴτιον ταύτης τῆς δωρεᾶς θάνατον τὴν περαίωσιν καὶ τὴν βεβαίωσιν ἔχουσαι. πρὸ γὰρ τοῦ τελευτῆσαι τὸν δωρησάμενον οὐδὲν ἕξει ὁ τὴν δωρεὰν κατέχων ἐκ τοῦ δωρηθέντος κτήματος, διότι πρόσκειται τὸ μετὰ θάνατον [2]).

β'. Τῶν ἐν ζωῇ δωρεῶν αἱ μέν εἰσιν ἐξ αὐτῆς τῆς ὥρας καὶ τοῦ καιροῦ τὴν περαίωσιν ἐκδεχόμεναι [3]), καὶ ὡς εἰπεῖν ἀπεντεῦθεν ἤδη τὴν παράδοσιν ποιούμε-

titi fuerunt: ipse autem licentiam habeat, si volet, propriam uxorem recipiendi.

TITULUS DUODECIMUS.

De donationibus.

1. Donationum aliae inter vivos fiunt, et vitae tempore gratiam et beneficium praestant animumque gratum requirunt: aliae mortis causa fiunt, et post mortem, quae veluti causa hujus donationis est, perfectionem et confirmationem nanciscuntur. Ante enim quam donator obierit, nihil ex re donata habebit, qui donationem possidet, quoniam additum est: post mortem.

2. Inter vivos donationum nonnullae ab ipsa hora et tempore perfectionem nanciscuntur, et quasi jam tunc traditionem faciunt et proprietatis et usus donatae pe-

77) B: λαμβ.

1) Hic titulus integer extat apud Harm. lib. III tit. 1 §. 2 — 7.

2) P: Ἰνστιτ. α' (l. β') τί. ζ'. — Interpretes, nec tamen satis apte, laudant Dig. XXXIX, 5, 1. Ego hoc et sequens caput ex προθεωρίᾳ aliqua graeci interpretis sumta esse crediderim.

3) B: δεχ.

ναι καὶ τῆς δεσποτείας καὶ τῆς χρήσεως τοῦ δωρουμένου χρήματος ἢ κτήματος [4]), τουτέστι κινητοῦ ἢ ἀκινήτου πράγματος, μηδενὸς ἔξωθεν ἄλλου λογισμοῦ παρακολουθοῦντος ἢ προσκειμένου ἢ προσδιοριζομένου, ἀλλ' εὐθὺς τοῦ πράγματος ἀπὸ προσώπου εἰς πρόσωπον μεταβαίνοντος, ἤγουν ἀπὸ τοῦ τὴν δωρεὰν ποιοῦντος εἰς τὸν τὴν δωρεὰν δεχόμενον ἄνευ τῆς οἱασοῦν προφάσεως ἢ αἱρέσεως. αἱ δέ εἰσιν ὑπὸ αἵρεσιν [5]) διδόμεναι, διαφόροις τρόποις [6]) καὶ χρόνοις εἰδοποιούμεναι, καὶ ὡς ἂν ὁ δωρούμενος ἐπείπῃ [7]) καὶ προσδιορίσηται.

γ'. Μετὰ θάνατον δωρεά ἐστιν, ὅτε τὶς ἑαυτὸν θέλει μᾶλλον ἔχειν ἢ τὸν λαμβάνοντα, τὸν δὲ λαβόντα πλέον τοῦ ἰδίου κληρονόμου [8]).

δ'. Τρία ἐστὶν εἴδη τῶν ἐν αἰτίᾳ θανάτου δωρεῶν. ἓν μὲν, ὅτε μηδενὸς ἐπηρτημένου φόβου δωρεῖται, διὰ μόνην ἐλπίδα φυσικοῦ θανάτου. δεύτερον δὲ, ὅτε τὶς διὰ τὸν ἐπηρτημένον ἔξωθεν καὶ οὐκ [9]) ἐκ τοῦ λαμβάνοντος θάνατον δωρεῖται, ἐφ' ᾧ παραχρῆμα δεσπόσαι

cuniae vel praedii, id est mobilis vel immobilis rei, nulla alia extrinsecus ratione consequente aut adjecta aut praefinita, sed confestim re a persona ad personam transeunte, id est a donatore ad donatarium sine qualicunque causa aut conditione. Nonnullae vero sub conditione dantur, variis modis et temporibus in species divisae, prout donator pronuntiaverit et praefiniverit.

3. Post mortem donatio est, quando quis mavult se habere quam donatarium, donatarium autem magis quam heredem suum.

4. Tria sunt genera mortis causa donationum. Primum, cum nullo impendente metu donatur, ob solam mortis naturalis suspicionem. Alterum, quum quis ob imminentem aliunde quam a donatario mortem donat, ita ut accipiens statim fiat dominus. Tertium, quum ob

4) C: κτήματος ἢ χρήματος.
5) B: εἰς ὑποδιαίρεσιν.
6) R: τόποις. Harm.: προσώποις.
7) C: ἐπείποι.
8) P: βι λθ' τί. ς' διατ. . . . Dig. XXXIX, 6, 1 pr.
9) Deest in L.

τὸν λαβόντα. τρίτον, ὅτε [10]) δι' ἀποδημίας κίνδυνον δίδοται, ἐφ' ᾧ τὸν λαβόντα μὴ δεσπόσαι, ἕως ἂν ὁ δεδωκὼς ἀποθάνῃ. οἷον ὁ κίνδυνον λῃστῶν ἢ πολεμίων, ἢ ναυάγιον, ἢ τόπους ἐπιβουλευομένους εὐλαβούμενος· ἀλλὰ καὶ ὁ νοσῶν καὶ ὁ ἄνδρα δυνατὸν ἢ γῆρας εὐλαβούμενος [11]). ταῦτα γὰρ πάντα κίνδυνον ἐνεστῶτα σημαίνουσιν [12]).

ε'. Ἐὰν δωρούμενος ἀποστείλω σοι πρᾶγμα καὶ πρὶν ἢ δοθῆναί σοι ἀποθάνω, οὐ γίνεται σόν [13]).

ς'. Ἐὰν ὁ ὑπεξούσιος κελεύσει ἢ βουλήσει πατρὸς δωρήσηται, δοκεῖ αὐτὸς ὁ πατὴρ δωρεῖσθαι.

ζ'. Καὶ ἐάν τις τὸ σὸν πρᾶγμα βουλήσει τῇ σῇ [14]) δωρήσηταί τινι ὡς ἴδιον, δοκεῖς σὺ [15]) τοῦτο δωρεῖσθαι [16]).

peregrinationis periculum donatur, ita ut accipiens dominus non fiat, usque dum donator moriatur. Veluti qui periculum a latronibus aut hostibus, vel naufragium, aut loca insidiosa metuit: nec non aegrotans, quique virum potentem aut senium extimescit. Haec enim omnia periculum instans demonstrant.

5. Si donaturus rem ad te misero et priusquam tibi tradita est moriar, non fit tua.

6. Si filiusfamilias jussu aut voluntate patris donaverit, videtur ipse pater donasse.

7. Et si quis voluntate tua alicui rem ut suam donet, tu eam donasse videris.

10) B: ὅταν.

11) Verba: ἀλλὰ — εὐλ. in R et Bodl. 3399 desunt.

12) Dig. eod. dig. 2 — 6.

13) P: διάταξις δ'. — Dig. XXXIX, 5, 2 §. 6.

14) Verba τῇ σῇ ex Bodlej. 3399 addidi.

15) M: δοκεῖ σοι.

16) Dig. eod. dig. 9 §. 2.

ΤΙΤΛΟΣ ΤΡΙΣΚΑΙΔΕΚΑΤΟΣ.

Περὶ ἀνατροπῆς δωρεῶν [1]).

α'. Ἐάν τις μὴ ἔχων υἱὸν πᾶσαν αὐτοῦ τὴν οὐσίαν ἢ μέρος αὐτῆς ἰδίῳ ἀπελευθέρῳ δωρήσηται, σχῇ δὲ παῖδας μετὰ ταῦτα, πᾶσα ἀκυρούσθω ἡ δωρεὰ, καὶ παλινδρομείτω πάντα πρὸς τὸν δωρησάμενον, ἔχοντα πάλιν ἐξουσίαν ὡς βούλεται ταῦτα διοικεῖν [2]).

β'. Οὔτε ἄνηβος οὔτε ἄνους δύναται δωρεῖσθαι. ἐν [3]) οὐδενὶ γὰρ τούτων ἐστὶ βούλησις [4]).

γ'. Ἐὰν ὁ τὴν δωρεὰν εἰληφὼς ἀχάριστος ὀφθῇ περὶ τὸν δωρησάμενον σκαιαῖς κατὰ τούτου χρησάμενος ὕβρεσιν, ἢ χεῖρας ἀδίκους ἐπαγάγῃ, ἢ ζημίαν μεγίστην περιβάλῃ ἐξ οἰκείας ἐπιβουλῆς, ἢ περὶ τὴν ζωὴν ἐπιβουλεύσῃ, ἢ τὰ ἐν τῇ δωρεᾷ [5]) πάκτα εἴτε ἐγγράφως εἴτε ἀγράφως γεγονότα μὴ πληρώσῃ· μιᾷ γὰρ ἐκ τούτων τῶν αἰτιῶν ἐὰν ἐν δικαστηρίῳ [6]) κατὰ σύστασιν φα-

TITULUS DECIMUS TERTIUS.

De revocandis donationibus.

1. Si quis filium non habens omne suum patrimonium aut ejus partem liberto suo donaverit, et postea liberos tollat, tota infirmetur donatio, atque omnia ad donatorem recurrant, qui potestatem rursus habeat administrandi prout voluerit.

2. Neque impubes, neque mente captus donare potest. Uterque enim voluntatis expers est.

3. Si donatarius erga donatorem ingratus appareat contumeliosa eum injuria afficiens, aut impias illi manus inferat, vel ingens damnum ex propriis insidiis ingerat, aut ejus vitae insidietur, aut pacta donationi sive scripto sive sine scriptura adjecta non impleat:

1) Hic titulus integer extat apud Harm. III, 2.
2) Cod. VIII, 56, 8.
3) R ἐν non habet.
4) P: βι. Θ' (l. λΘ') τί. β' (l. ε') διατ. κγ'. — Dig. XXXIX, 5, 23.
5) R: ἐν τῇ ζωῇ τῇ δωρεᾷ.
6) Bodl. 3399: τηρηθῇ καὶ κατὰ σύστ.

νερῶς ἀποδειχθῇ, ἀνατρεπέσθωσαν αἱ γενόμεναι [7]) δωρεαί [8]).

ΤΙΤΛΟΣ ΤΕΣΣΑΡΑΚΑΙΔΕΚΑΤΟΣ.

Περὶ πράσεως καὶ ἀγορᾶς.

α΄. Πρᾶσις καὶ ἀγορασία συνίσταται, ἡνίκα περὶ τοῦ τιμήματος ἑκάτερον συναινέσαν μέρος ὁ [1]) μὲν τὴν καταβολὴν ποιήσηται τοῦ τιμήματος, ὁ δὲ παραδοίη τὸ πιπρασκόμενον· οὐ μόνον δὲ ἀλλὰ κἂν ὁ ἕτερος τούτων ἢ τὴν καταβληθεῖσαν τιμὴν ἀναλάβοι ἢ τὸ διαπραθὲν πρᾶγμα παραλάβοι, ἐφ' ᾧ τὴν πρᾶσιν ἀδιάλυτον προβῆναι, καὶ οὕτως τὰ τῆς πράσεως ἐῤῥῶσθαι. τὸ δὲ ἀῤῥαβῶνος χάριν παρεχόμενον ἔλεγχός ἐστι καὶ ἀπόδειξις πράσεως καὶ ἀγορασίας [2]) συστάσεως, οὐ μὴν αὐτὸ σύστασις. ταῦτα δὲ περὶ πράσεως καὶ ἀγορασίας λέγομεν τῆς ἀγράφως γινομένης. ἐπὶ δὲ τῆς ἐγγράφως γινομένης [3]) οὐχ ἑτέρως τὸ τέλειον προσγενήσεσθαι λέγομεν τῇ πράσει καὶ τῇ [4]) ἀγορασίᾳ, εἰ μὴ

una scilicet ex his causis si fuerit in judicio cognitionaliter approbata, factae donationes rescindantur.

TITULUS DECIMUS QUARTUS.

De venditione et emtione.

1. Emtio et venditio contrahitur, quando de pretio utraque pars consenserit, et alter solutionem pretii praestiterit, alter vero rem venditam tradiderit: sed etiam si alter horum vel persolutum pretium vel rem venditam acceperit, ut venditio retractari nequeat, etiam sic venditio rata sit. Quod autem arrhae nomine datur, argumentum est et probatio venditionis et emtionis contractae, non ipse contractus. Haec autem de venditione et emtione dicimus, quae sine scriptura fit. Quando vero in scriptis fit, non aliter perfectam fieri dicimus

7) Deest in L.
8) Cod. l. c. const. 10.
1) R: συναινέσει μέρος καὶ ὁ.
2) R: καὶ σύστ.
3) Verba: ἐπὶ δὲ τῆς ἐγγρ. γιν. L non habet.
4) Deest in C.

καὶ τὰ συμβόλαια τῆς πράσεως συγγραφῇ ἢ [5]) οἰκείᾳ χειρὶ τοῦ πιπράσκοντος, ἢ ὑπὸ ἑτέρου μὲν γραφῇ, ὑπογράψῃ δὲ ὁ πιπράσκων· εἰ δὲ διὰ ταβελλίονος γίνεται [6]), καὶ κόμπλα [7]) παρακολουθήσει προταχθείσης ὑπογραφῆς καὶ τοῦ συμβολαίου. τὸ δὲ δι' ἀῤῥαβῶνος γινόμενον, ἐν ὑστεροβουλίᾳ κείμενον, διαλυομένης τῆς πράσεως, εἰ μὲν ἀγοραστὴς ᾖ ὁ διαλύων καὶ ἀποχωρῶν, ἀπόλλυσι τὸν ἀῤῥαβῶνα· εἰ δὲ πράτης, τὸ διπλοῦν παρασχεῖν ἀναγκάζεται, τουτέστιν αὐτὸ τὸ δοθὲν καὶ ἕτερον τοσοῦτον [8]).

β'. Οὐδεὶς ἐκ τοῦ παρ' αὐτοῦ ἐγχειριζομένου ὀφφικίου ἀγοράζειν τὶ δύναται κινητὸν ἢ ἀκίνητον δι' [9]) ἑτέρου ἢ δι' ἑαυτοῦ· καὶ γὰρ τοῦ πράγματος ἐκπίπτει καὶ τὸ δοθὲν τίμημα οὐ λαμβάνει [10]). ὅπερ κρατεῖ καὶ ἐπὶ τοῦ προκουράτορος τοῦ βασιλέως, εἰ μὴ παρὰ τοῦ δημοσίου [11]).

venditionem atque emtionem, nisi instrumenta quoque conscripta sint, sive propria vendentis manu, sive ab alio quidem sint scripta, dummodo venditor subscripserit: aut si per tabellionem fiant, etiam completio subsequuta sit per praefinitam subscriptionem atque instrumentum. Quod autem per arrham fit, in poenitentia positum est: et rescissa venditione, siquidem emtor fuerit, qui solvit contractum et ab eo recedit, amittit arrham, si vero venditor, duplum praestare cogitur, id est id ipsum, quod datum erat, et alterum tantum.

2. Nemo ex officio, quod administrat, emere quid potest mobile vel immobile per alium vel per se: nam et re excidit et datum pretium non recipit. Id quod etiam in procuratore Caesaris obtinet, nisi a fisco emat.

5) Deest in C.

6) R: ἢ καὶ διὰ ταβ. γένηται.

7) B: κόμβλα. Etiam Bodl. 3399 κόμπλα habet. R in margine notat: μαρτυρία.

8) P: Ἰνστιτ. γ' τί. κγ'. Scilicet ex Theophilo h. l. sumta sunt. — Harm. III, 3, 1 — 3.

9) B: ἢ δι' ἑτ.

10) B: οὐκ ἀναλ.

11) P: βι. ιη' τί. α' διατ. ϛ' (l. μϛ') διατ. ξβ'. — Dig. XVIII, 1, 46. 62. — Harm. h. t. §. 6.

γ΄. Μετὰ τὸ πραθῆναι καὶ ἀγορασθῆναί τι κατὰ τοὺς ὡρισμένους χαρακτῆρας τῆς τε ἐγγράφου καὶ τῆς ἀγράφου πράσεως καὶ ἀγορασίας ὁ κίνδυνος τοῦ πεπραμένου πράγματος εὐθέως τὸν ἀγοραστὴν ὁρᾷ, εἰ καὶ τὰ μάλιστα μήπω τὸ πρᾶγμα παραδέδοται. τοιγαροῦν εἴτε οἰκέτης ἐστὶν ὁ πεπραμένος καὶ τελευτήσει ἢ μέρος τὶ βλαβῇ τοῦ σώματος, πόδα ἢ χεῖρα ἢ ὀφθαλμὸν, ἢ οἰκία οὖσα [12]) ἡ πεπραμένη ἢ πᾶσα ἢ ἐκ μέρους πυρὶ [13]) δαπανηθῇ, ἢ ἀγρὸς βίᾳ ποταμοῦ ὅλος ἢ ἐκ μέρους ἀπόληται [14]), εἴτε τῇ πλημμύρᾳ τοῦ ὕδατος ἢ δένδρων ἐξ ἀνέμου καταπεσόντων πολλῶν ἥττων καὶ [15]) χείρων γένηται [16]) ὁ ἀγρὸς, ἐπὶ τούτων πάντων [17]) ἡ ζημία τὸν ἀγοραστὴν ὁρᾷ. καθόλου γὰρ ἴσθι, ὅτι δίχα δόλου ἢ ῥαθυμίας τοῦ πράτου εἰ συμβῇ τῷ πράγματι τοιοῦτόν τι [18]), ἕξει τὸ ἀμέριμνον ὁ πράτης [19]).

δ΄. Ὥσπερ ἡ ἐκ τύχης ἐλάττωσις ἤτοι ἀπώλεια τοῦ πεπραμένου πράγματος εἰς τὸν ἀγοραστὴν ἀνατρέχει, οὕτως καὶ εἴ τι προσγέγονε κέρδος τῷ πεπραμένῳ

3. Postquam res vendita atque emta est secundum formas praescriptas venditioni et emtioni tam in scriptis quam sine scripto celebratae, periculum venditae rei statim ad emtorem spectat, licet vel maxime res nondum sit tradita. Itaque sive servus sit venditus et moriatur, aut parte aliqua corporis mutiletur, pede vel manu vel oculo, sive domus vendita vel tota vel ex parte igni consumta sit, sive ager vi fluminis totus vel ex parte pereat, aut inundatione aquae vel arboribus multis vento dejectis deterior et vilior ager sit factus, in his omnibus damnum ad emtorem pertinet. Generaliter enim scito, absque dolo et culpa venditoris si quid tale acciderit, venditorem fore securum.

4. Sicuti fortuita deminutio et interitus rei venditae ad emtorem spectat, sic etiam, si quid lucri vendi-

12) In C deest.
13) B non habet.
14) B: ἀπόλλυται.
15) B: ἢ καί.
16) C: γενήσεται.
17) In B deest.
18) C τι non habet.
19) Theophilus III, 23, 3. — Harm. §. 8.

πράγματι, τὸν ἀγοραστὴν ὠφελήσει. ὅθεν εἰ καὶ διὰ προσκλύσεως ἢ προσχώσεως ποταμοῦ μείζων γέγονεν ὁ ἀγρὸς μετὰ τὸ συστῆναι τὴν πρᾶσιν, τοῦ κέρδους ὁ ἀγοραστὴς ἀπολαύσει [20]).

ε'. Ἡ πρᾶσις καὶ ἀπεντεῦθεν ἤδη, ἤγουν εὐθέως καὶ παραυτὰ, χωρίς τινος προσδιορισμοῦ ἢ αἱρέσεως καὶ χρόνου ἀναβολῆς τελειοῦσθαι δύναται, ὡς ὅταν δῴης τὸ σὸν ἐπὶ τῷ [21]) λαβεῖν τόδε· καὶ ὑπὸ αἵρεσιν γίνεται, οἷον ὁ δεῖνα ὁ οἰκέτης εἴγε εἴσω μηνὸς ἀρέσῃ σοι, ἔστω σοι πεπραμένος νομισμάτων δέκα [22]).

ϛ'. Ἐὰν κελευσθεὶς ὁ δοῦλός μου τοὺς ὅρους ὑποδεῖξαι τοῦ πραθέντος ἀγροῦ πλέον ὑποδείξῃ κατὰ δόλον [23]) ἢ ἄγνοιαν, οὐ καταδικάζει με. τὸ αὐτὸ καὶ ἐπὶ παραδόσεως νομῆς ἀργούσης [24]).

ζ'. Οὐχ ἕπεται τῷ πραθέντι δούλῳ τὸ πεκούλιον αὐτοῦ. ὅθεν ἐὰν ὁ δοῦλος κλέψῃ τοῦ πεκουλίου τί καὶ

tae rei accedit, emtoris erit commodum. Unde etiam si per alluvionem aut appulsionem fluminis ager major sit factus post celebratam venditionem, hoc lucro emtor fruetur.

5. Venditio et exinde jam, id est statim et illico, sine ulla praefinitione aut conditione vel temporis mora, consummari potest, veluti quum dederis tuum ut acciperes hoc: et sub conditione fit, veluti ille servus si intra mensem tibi placuerit, sit tibi venditus aureis decem.

6. Si servus jussus a me fines demonstrare venditi agri plus demonstravit per dolum vel ignorantiam, non condemnat me. Idem in traditione possessionis vacuae.

7. Non sequitur venditum servum ejus peculium. Unde si quid servus ex peculio surripuerit idque ad

20) Theophil. ibid. — Harm. §. 9.

21) C et L: τό.

22) Theophil. III, 23, 4. — Harm. §. 10.

23) R: λόγον.

24) P: βι. ιη' τι. α' διγ. ιη'. Dig. XVIII, 1, 18 §. 1. — Harm. §. 18.

περιέλθῃ εἰς τὸν ἀγοραστὴν, καὶ ὅσα μετὰ τὴν πρᾶσιν προστίθεται τῷ πεκουλίῳ, ἀποδίδοται τῷ πράτῃ, τυχὸν τοκετοὶ [25]) καὶ τὰ ἀπὸ τῶν ἔργων τῶν ἐκ τοῦ πεκουλίου δούλων [26]).

η'. Ὁ ἐπίτροπος οὐ δύναται ὀρφανικὸν πρᾶγμα ἀγοράσαι. τὸ αὐτὸ καὶ ἐπὶ τῶν ὁμοίων, κουράτορος καὶ προκουράτορος [27]).

θ'. Ἐὰν ἐν τῷ πραθέντι οἴκῳ τὸ ἀποτιθέμενον [28]) ὑπό τινος χρυσίον κατὰ πλάνην ἀπομεῖναν ἐν αὐτῷ εὑρεθῇ, μένει τοῦ πάλαι δεσπόζοντος [29]).

ι'. Ὁ βλέπων [30]) πιπρασκόμενον ὑφ' ἑτέρου ἴδιον αὐτοῦ πρᾶγμα καὶ μὴ ἀντιλέγων, αὐτὸς δοκεῖ πιπράσκειν αὐτό [31]).

ια'. Ἐκεῖνο δὲ ἔτι [32]) προσθεῖναι τῷ νόμῳ δίκαιον ᾠήθημεν, ἵνα ὁ πιπράσκων δοῦλον, καὶ γινώσκων αὐτὸν ἢ [33]) κλέπτην ἢ μαινόμενον ἢ δαιμονιῶντα, προσφωνείτω [34]) περὶ τούτου τῷ ἀγοραστῇ· εἰ γὰρ τοῦτο

emtorem pervenerit, et quaecunque post venditionem peculio accesserint, venditori restituuntur, puta partus et quod ex operis vicariorum perceptum est.

8. Tutor pupillarem rem emere non potest. Idem in similibus, curatore et procuratore, obtinet.

9. Si in vendita domo depositum ab aliquo aurum ibique per errorem relictum inveniatur, manet prioris domini.

10. Si quis rem suam ab alio videat vendi nec contradicat, ipse eam vendidisse videtur.

11. Illud etiam legi adjicere aequum arbitrati sumus, ut, qui servum vendit ac scit eum esse furem aut furiosum aut daemoniacum, emtorem ea de re ad-

25) C: τοῦ οἰκέτου pro τοκετοί.

26) P: διγ. κθ'. — Dig. eod. dig. 29 — 31. — Harm. §. 20.

27) P: διγ. λ'. — Dig. eod. dig. 34 §. 7. — Harm. §. 23.

28) B: ἀποτεθειμένον.

29) P: διγ. λε'. (?) — Dig. VI, 1, 67. — Harm. §. 24.

30) L addit: τί.

31) Dig. XXI, 2, 12. — Harm. §. 25.

32) In B deest.

33) B non habet.

34) Bodl. 3399: προσφωνήσῃ. R: ἵνα προφωνῆται — τὸν ἀγοραστήν.

μὴ ποιήσῃ, αὐτὸς μὲν λήψεται τὸν δοῦλον, τὸ δὲ τίμημα διπλοῦν ἀποστρέψει τῷ ἠγορακότι, ἀπαιτούμενος καὶ εἴ τινα ζημίαν εἰργάσατο ἐν τῷ οἴκῳ τοῦ ἠγορακότος [35]).

ΤΙΤΛΟΣ ΠΕΝΤΕΚΑΙΔΕΚΑΤΟΣ.

Περὶ ἐμφυτεύσεως.

α'. Τὰς ἐμφυτεύσεις παρὰ τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας τῆς βασιλίδος πόλεως καὶ τοῦ ὀρφανοτροφείου καὶ τῶν ξενώνων καὶ τῶν νοσοκομείων καὶ τῶν πτωχείων γίνεσθαι κελεύομεν ἐπί τε τῷ προσώπῳ αὐτοῦ τοῦ λαβόντος [1]), καὶ ἄλλων δύο ἐφεξῆς κληρονόμων [2]).

β'. Οἱ εὐαγεῖς τόποι [3]) μὴ εὐποροῦντες ἀλλαχόθεν πληροῦν τὰ δημόσια, καλῶς πωλοῦσι καὶ κτήσεις, δηλονότι ἐξεταζομένης τῆς ἐκποιήσεως παρὰ τῷ μητροπολίτῃ συνόντων τῶν ἐπισκόπων καὶ τῶν κληρικῶν, προκειμένων τῶν θείων λογίων· καὶ εἰ μὴ δειχθῇ [4]) ἄλλος πόρος, ἐξ οὗ δοῦναι τὰ δημόσια δυνηθῶσι, βε-

moneat. Nisi enim hoc fecerit, ipse quidem servum recipiet, sed duplum pretium emtori restituet, praestiturus quoque si quod damnum in emtoris aedibus dederit.

TITULUS DECIMUS QUINTUS.

De emphyteusi.

1. Emphyteuses a sanctissima magna ecclesia regiae urbis et ab orphanotrophio et xenonibus et nosocomiis et ptochotrophiis fieri mandamus in persona ipsius accipientis, et duorum deinceps heredum.

2. Venerabilia loca, si aliunde tributa implere nequeunt, recte etiam possessiones vendunt, dum scilicet alienatio examinetur a metropolita, praesentibus episcopis et clericis et propositis sacris oraculis; et si non alius reditus appareat, unde haec tributa persolvi possint, con-

35) Haec est nova constitutio. Interpretes laudant Dig. XIX, 1, 13 pr. XXI, 1, 1 §. 2. Cod. IV, 58, 1. — Harm. §. 121.

1) B: λαμβάνοντος.

2) P: Νεαρὰ ρκ'. — Nov. 120 c. 1. — Harm. III, 4, 4.

3) R: οἶκοι.

4) R: εὑρεθῇ.

βαιούσθω τῶν ἀκινήτων ἡ πρᾶσις ἐπὶ δεκρέτῳ [5]), καὶ διδόσθω [6]) τῷ δημοσίῳ τὸ τίμημα τῶν πραθέντων καὶ ἀπόδειξις τῶν καταβληθέντων [7])

γ΄. Ἐὰν ἰδιώτης χρεωστῆται παρά τινος ἐκκλησίας, ἀναγκάζεται λαβεῖν καὶ ἀντὶ τοῦ [8]) χρέους ἀκίνητον πρᾶγμα [9]).

δ΄. Τὰ ἐρείπια τῆς ἐκκλησίας κωνσταντινουπόλεως διηνεκῶς ἐμφυτευέσθωσαν ἐπὶ τῇ τρίτῃ μοίρᾳ τῶν ἐῤῥωμένων [10]) τῆς κτήσεως ἐνοικίων, ἢ ἐπὶ τῷ ἡμίσει τῶν μετὰ τὴν ὑπὸ τοῦ ἐμφυτευτοῦ γινομένην ἐπανόρθωσιν τῶν [11]) ἐνοικίων [12]).

ε΄. Τὰς δὲ μισθώσεις παρὰ τῶν εἰρημένων [13]) εὐαγῶν οἴκων γίνεσθαι κατὰ δύο τρόπους συγχωροῦμεν, ἢ μέχρι τοῦ τῆς ζωῆς χρόνου τοῦ ἐμφυτευσαμένου, ἢ εἰς ὅσους ἂν τοῖς συναλλάττουσι συναρέσῃ, μὴ ὑπερβαινούσας δηλαδὴ τὸν τριακονταετῆ χρόνον [14]).

firmetur venditio decreto, et fisco pretium rerum venditarum detur, et probatio solutionis.

3. Si privato debeatur ab aliqua ecclesia, cogitur etiam pro debito immobilem rem accipere.

4. Collapsa aedificia ecclesiae Constantinopolitanae in perpetuam emphyteusin dentur pro tertia parte integrae, quae pro ea possessione exsolvebatur, pensionis aut pro semisse pensionis, quae post reparationem ab emphyteuta factam redigeretur.

5. Locationes vero a praedictis venerabilibus domibus fieri duobus modis permittimus, aut ad finem vitae emphyteutae, aut in quot annos contrahentibus placuerit, non excedentes tamen tricennale tempus.

5) L: δεκρέτου.

6) C: δίδοσθαι. Bodl. 3399: καὶ γενέσθω ἀπόδ.

7) Nov. 46 cap. 1. — Harm. III, 3, 120.

8) B: ἀντὶ χρέους. M: ἀντὶ τοῦ χρυσίου.

9) P: Νεαρὰ ρκ΄ θέ δ΄. — Nov. 120 c. 6 §. 2. — Harm. III, 5, 87.

10) **Reitz** non sine ratione conjicit: ἐῤῥωμένης τῆς κτίσεως. Et κτίσεως quidem legitur in Bodl. 3399. Basilica sic: τῶν πρὸ τῆς πτώσεως.

11) **Reitz** articulum τῶν delendum esse censet.

12) Nov. 120 c. 1. — Harm. III, 4, 5.

13) In B deest.

14) Nov. 120 c. 3. — Harm. eod. §. 7.

Digitized by Google

ς'. Τοῖς οἰκονόμοις καὶ ὀρφανοτρόφοις καὶ τοῖς τῶν λοιπῶν εὐαγῶν οἴκων διοικηταῖς, ἔτι γε μὴν καὶ τοῖς πάντων χαρτουλαρίοις, καὶ τοῖς τούτων γονεῦσί τε καὶ παισὶ καὶ τοῖς ἄλλοις τοῖς κατὰ γένος αὐτοῖς ἢ ἐκ γαμικοῦ δικαίου συναπτομένοις, ἀπαγορεύομεν ἐμφυτεύσεις τε καὶ μισθώσεις ἤγουν ὑποθήκας πραγμάτων τοῖς αὐτοῖς εὐαγέσιν οἴκοις προσηκόντων ἢ δι' ἑαυτῶν ἢ διὰ παρενθέτου προσώπου [15]) λαμβάνειν· γινωσκόντων, ὡς, εἰ τοιοῦτόν τι γένηται, καὶ τοῦτο ἀνίσχυρον ἔστω [16]), καὶ ἐκπίπτειν μὲν τὸν ἐμφυτευσάμενον καὶ ἐκμισθωσάμενον τοῦ ἐμφυτευθέντος πράγματος, ζημιοῦσθαι δὲ καὶ τὴν καταβληθεῖσαν εἰς αὐτὸ τιμήν. τοὺς δὲ τὴν αὐτὴν [17]) ἐμφύτευσιν διαπραξαμένους οἰκονόμους καὶ χαρτουλαρίους καὶ διοικητὰς τοσοῦτον ἅμα ζημιοῦσθαι καὶ προσκυροῦσθαι τῷ οἴκῳ, ὅσην καὶ [18]) ὁ ἐμφυτευσάμενος τῆς καταβληθείσης τιμῆς ὑπέστη ζημίαν [19]).

6. Oeconomos et orphanotrophos aliorumque domorum venerabilium administratores aeque ac chartularios omnium, eorumque parentes et liberos, nec non alios aut genere aut affinitate illis conjunctos, vetamus emphyteuses, locationes aut oppignerationes rerum iisdem venerabilibus domibus competentium vel per se vel per interpositam personam comparare: alioqui sciant, si quid tale factum fuerit, et irritum fore, et emphyteutam conductoremque re in emphyteusin datae excasurum, quin etiam persoluto pretio mulctatum iri. Oeconomi autem atque chartularii et administratores, qui eam emphyteusin constituerint, tantum damni ferent domui adjudicandum, quantum in persoluto pretio damni emphyteuta passus est.

15) B: παρενθέτων προσώπων.

16) B: ἔσται.

17) B: τοιαύτην.

18) Deest in B.

19) Nov. 120 c. 5. — Harm. eod. §. 9.

Digitized by Google

ΤΙΤΛΟΣ ἙΚΚΑΙΔΕΚΑΤΟΣ.

Περὶ δανείου καὶ ἐνεχύρου [1].

α'. Οἱ ἐκ τοῦ ἐνεχύρου ληφθέντες καρποὶ ψηφίζονται εἰς τὸ χρέος, καὶ ἐὰν ἱκανοὶ γένωνται πρὸς τὸ ὅλον χρέος, λύεται καὶ ἡ ἀγωγὴ [2]) καὶ ἀποδίδοται τὸ ἐνέχυρον. εἰ δὲ καὶ πλείονές εἰσι τοῦ χρέους οἱ καρποὶ, ἀποδίδονται οἱ περιττεύοντες [3]).

β'. Τῆς δούλης [4]) οἱ κάματοι καὶ τὰ ἐνοίκια τῶν ὑποτεθέντων οἰκημάτων εἰς τὸ χρέος λογίζονται· καὶ ἐὰν πολύ ἐστι τὸ συναγόμενον, λύεται ἡ ἀγωγή [5]).

γ'. Οἱ καρποὶ τοῦ ἀγροῦ ψηφίζονται εἰς τὸ χρέος, οὐ μόνον οὓς ἔλαβεν ὁ δανειστὴς, ἀλλὰ καὶ οὓς ἠδύνατο λαβεῖν. εἰ δὲ καὶ ἔβλαψε τὸν ἀγρὸν, ἐνάγεται καὶ περὶ τούτου [6]).

δ'. Τὸ συμφωνῆσαι τὸν χρεώστην, ἐν τῷ τὴν προθεσμίαν αὐτοῦ [7]) τῆς καταβολῆς ὑπερβαίνειν διάπρα-

TITULUS DECIMUS SEXTUS.

De mutuo et pignore.

1. Fructus ex pignore percepti in debitum imputantur, et si ad totum debitum sufficiant, tollitur actio pignusque redditur. Quod si fructus debito sint majores, superflui restituuntur.

2. Ancillae operae et pensiones domorum oppigneratarum in debitum imputantur: et si [satis] multum inde collectum est, tollitur actio.

3. Fructus agri in debitum imputantur, non modo quos creditor percepit, sed etiam quos percipere potuit. Quod si agrum deteriorem reddidit, de eo etiam convenitur.

4. Pactum, ut pignoris venditio fiat, si debitor praestitutum ipsi solutionis tempus excesserit, non tollit

1) C: ἐνεχύρων.
2) B: ἀναγωγή.
3) Cod. IV, 24, 1. — Harm. III, 5, 3.
4) B: δουλείας.
5) Cod. eod. const. 2. — Harm. §. 4.
6) Cod. eod. const. 3. — Harm. §. 5.
7) Reitz mavult: αὐτόν.

σιν γίνεσθαι [8]) τοῦ ἐνεχύρου, οὐκ ἀναιρεῖ [9]) τὴν τοῦ ἐνεχύρου ἀγωγὴν, ὅταν [10]) ἐλάττονος πωλήσῃ ὁ δανειστής. ὑπόκειται γὰρ τότε [11]) ὁ δανειστὴς τῷ συμφώνῳ τῷ ἐν τῷ πλήθει πολιτευομένῳ ἐναχθῆναι [12]).

ε'. Ἐὰν ὁ δανειστὴς μὴ παρ' ἰδίαν αἰτίαν ἀπολέσῃ τὸ ἐνέχυρον, οὐκ ἐγκαλεῖται. χρὴ δὲ αὐτὸν ἀποδεῖξαι, ὅτι ἀπώλεσεν. τὰ γὰρ τυχηρὰ οὐ κινδυνεύεται τῷ δανειστῇ, ἀλλὰ δύναται κατὰ τύχην ἀπολέσας τὸ πρᾶγμα ἀπαιτεῖν τὸ αὐτῷ [13]) κεχρεωστημένον. ἐὰν δὲ μεταξὺ τῶν συναλλασσόντων ἤρεσεν, ἵνα ἡ ἀπώλεια τῶν ἐνεχύρων ἐλευθερώσῃ τὸν χρεώστην, τοῦτο ἰσχὺν ἔχει [14]).

ς'. Ὁ δανειστὴς, ὅστις ἀγροὺς ἢ οἴκους εἰς ὑποθήκην ἔλαβε, τὴν ζημίαν τὴν ἐν τοῖς τεμνομένοις δένδροις [15]) καὶ τοῖς καταλυομένοις οἴκοις ἐξ αὐτοῦ γενομένην εἰς λόγον ἐνεγκεῖν ἀναγκασθήσεται. καὶ ἐὰν κατὰ δόλον ἢ πταῖσμα τὸ πρᾶγμα τὸ ὑποτεθὲν χεῖρον ἐποίησε, καὶ τούτου ἕνεκεν τῇ ἀγωγῇ ἐνάγεται, ἵνα τοιοῦ-

pigneratitiam actionem, si creditor minoris vendiderit. Tunc enim obnoxius est creditor actioni ex pacto illo vulgari.

5. Si creditor sine sua culpa pignus amiserit, non convenitur. Oportet autem eum probare, se amisisse. Fortuita enim creditoris periculo non sunt: sed re casu amissa, debitum petere potest. Si autem inter contrahentes placuerit, ut pignorum amissio debitorem liberet, validum hoc est.

6. Creditor, qui agros vel domos pignori accepit, damnum in decidendis arboribus et domibus destruendis a se datum rationibus inferre cogetur. Et si dolo vel culpa rem suppositam deteriorem fecerit, eo quoque nomine actione tenebitur, ut rem talem resti-

8) B: γενέσθαι.
9) R: ἀναιρεῖται.
10) B: ὅτε.
11) Deest in M.
12) Cod. eod. const. 4. — Harm. §. 15. — Bodlej. 173 glossam addit: τουτέστι διατιμηθῆναι. Recte.
13) C: αὐτό.
14) B: ἐχέτω. — Cod. eod. const. 5. 6. — Harm. §. 22.
15) R: δρόμοις.

τον ἀποκαταστήσῃ [16]) τὸ πρᾶγμα, ὁποῖον ἦν ἐν [17]) καιρῷ τῆς ὑποθήκης. ὁ δὲ δανειστὴς τὰ ἀναγκαῖα δαπανήματα, ἅπερ ἐποίησε περὶ τὸ ὑποτεθὲν πρᾶγμα, ἀπαιτεῖν οὐ κωλύεται [18]).

ζ'. Τὰ ὑποτεθέντα πράγματα εἰς ἐνέχυρον προσωπικῶς ζητοῦσιν οἱ χρεῶσται. οὐδὲ γὰρ ἔξεστι τῷ δανειστῇ χωρὶς συμφώνου καὶ ἀρχικῆς κελεύσεως ἀφαιρεῖσθαι τὰ πράγματα τοῦ χρεώστου, τουτέστι διαπιπράσκειν τὰ εἰς αἰτίαν ἐνεχύρου κατεχόμενα πράγματα [19]).

η'. Ὁ δανειστὴς καὶ ὁ τούτου κληρονόμος οὐκ ἔχει μακροῦ χρόνου παραγραφὴν εἰς τὸ μὴ ἀποδοῦναι τὸ ἐνέχυρον μετὰ τὸ πληρωθῆναι τὸ χρέος, τουτέστι τὴν τριακονταετίαν [20]).

θ'. Ὁ δεσπότης προστησάμενος τὸν οἰκέτην αὐτοῦ [21]) πραγματείας τινὸς [22]), τότε κατέχεται [23]) δανειζομένου αὐτοῦ, ὅτε ἐπέτρεψεν αὐτῷ δανείζεσθαι. εἰ δὲ μὴ δείκνυται ἐπιτρέψας, τότε ζητοῦμεν περὶ τοῦ

tuat, qualis fuit tempore obligationis. Creditor autem necessarios sumtus, quos circa oppigneratam rem fecit, exigere non prohibetur.

7. Res pignori suppositas in personam actione repetunt debitores. Non enim licet creditori absque pacto vel judicis jussione auferre res debitoris, id est vendere res, quas pignoris nomine tenet.

8. Creditor ejusque heres non habet longi temporis praescriptionem, ne pignus reddat post persolutum debitum, id est tricennale tempus.

9. Dominus praeponens servum suum alicui negotiationi, tum tenetur ob mutuum ab illo contractum, si illi etiam mutuari permiserit. Quodsi non probetur,

16) B: αὐτῷ καταστήσῃ.

17) B: ἐν τῷ.

18) Cod. eod. const. 7. — Harm. §. 27.

19) Cod. eod. const. 11. — Harm. §. 28.

20) Sic lego cum R et Bodl. 3399. — C et L: τῇ τριακονταετίᾳ. — Cod. eod. const. 12. — Harm. §. 34.

21) L: χάριν πραγμ.

22) R: τινάς.

23) L: καταδέχεται.

πεκουλίου τοῦ δούλου, καὶ πληρουμένου κατὰ πρῶτον λόγον τοῦ δεσπότου πληροῦται κατὰ δεύτερον λόγον καὶ ὁ δανειστής [24]).

ι'. Εἴ τις δανείσειε, καὶ ἐγγυητὴν ἢ μανδάτορα ἢ ἀντιφωνητὴν προσλάβοι, οὗτος μὴ τὴν πρώτην εὐθὺς [25]) κατὰ τοῦ μανδάτορος ἢ τοῦ ἐγγυησαμένου ἢ ἀντιφωνήσαντος χωρείτω, μηδὲ ἀμελήσας τοῦ δανεισαμένου τὰς παρενθήκας διενοχλείτω [26]), ἀλλὰ πρῶτον χωρείτω ἐπὶ τὸν τὸ χρυσίον εἰληφότα καὶ τὸ δάνεισμα πράξαντα· καὶ εἰ μὲν ἐκεῖθεν ἀπολάβοι, τῶν ἄλλων ἀπεχέσθω. εἰ δὲ οὐκ ἰσχύει παρὰ τοῦ δανεισαμένου λαβεῖν εἰς μέρος ἢ εἰς ὁλόκληρον, καθόσον ἂν παρ' αὐτοῦ μὴ δυνηθῇ [27]) λαβεῖν, κατὰ τοσοῦτον ἐπὶ τὸν ἐγγυητὴν ἢ τὸν ἀντιφωνητὴν ἢ μανδάτορα χωρείτω, καὶ παρ' ἐκείνου τὸ λειπόμενον κομιζέσθω· καὶ εἰ μὲν παρόντες αὐτῷ τύχοιεν ἀμφότεροι, ὅ τε πρωτότυπος, ὅ τε ἐγγυησάμενος ἢ μανδατορεύσας ἢ ἀντιφωνήσας, τὰ

eum permisisse, tum de peculio servi quaerimus, et postquam primo loco satisfactum fuerit domino, secundo loco etiam creditori satisfit.

10. Si quis mutuum dederit, et fidejussorem vel mandatorem vel constitutae pecuniae reum acceperit, is ne primo statim loco adversus mandatorem aut fidejussorem aut constitutae pecuniae reum actionem moveat, neque neglecto illo, qui mutuum accepit, interpositas personas inquietet: sed conveniat primo eum, qui pecuniam accepit et mutuum contraxit: et si hinc consecutus sit, ceteris abstineat. Sed si a debitore nec partem nec solidum consequi possit, quantum ab eo recipere non potuerit, in tantum adversus fidejussorem aut constitutae pecuniae reum aut mandatorem agat, atque ab hoc reliquum accipiat. Et si quidem uterque praesens sit, et principalis debitor, et fidejussor aut mandator aut constitutae pecuniae reus, supra dicta omni

24) Cod. IV, 25, 1. — Harm. §. 92.

25) R: καὶ εὐθύς.

26) Verba μηδὲ — διενοχλείτω C non habet.

27) C: δύνῃ. Bodlej. 3399: καθόσον ἂν παρῇ τοῦ μὴ δυνηθῆναι.

προειρημένα ἐκ παντὸς φυλαττέσθω τρόπου. εἰ δὲ ὁ ἐγγυητὴς ἢ ὁ μανδάτωρ ἢ ὁ ἀντιφωνητὴς παρείη, τὸν δὲ πρωτότυπον ἀπεῖναι συμβαίη, δεικνύτω [28]) ὁ δανειστὴς τὸν ἐγγυητὴν ἢ ἀντιφωνητὴν ἢ μανδάτορα, καὶ ὅ γε τῷ πράγματι καθήμενος δικαστὴς [29]) διδότω καιρὸν τῷ ἐγγυητῇ, ταὐτὸν δὲ εἰπεῖν ἀντιφωνητῇ καὶ μανδάτορι, βουλομένοις τὸν πρωτότυπον ἄγειν, ἐφ᾽ ᾧ τε ἐκεῖνον πρότερον ὑπομεῖναι τὴν ἐναγωγὴν, οὕτω δὲ αὐτοὺς [30]) ἐν [31]) καταλοίπῳ πεφυλάχθαι βοηθείᾳ [32])· καὶ ἀμυνέτω [33]) γε τῷ ἐγγυητῇ καὶ ἀντιφωνητῇ καὶ μανδάτορι εἰς τὴν τοῦ ἐγγυηθέντος παράστασιν, ὥστε αὐτὸν ἀχθέντα τῆς ἐν τῷ τέως ἐναγωγῆς ἀπαλλάξαι τοὺς ὑπὲρ ἑαυτοῦ ἐνοχλουμένους [34]). εἰ δὲ ὁ χρόνος ὁ ἐπὶ τοῦτο [35]) ταχθεὶς ἐξήκοι [36]), τηνικαῦτα ὁ ἐγγυητὴς ἢ ὁ μανδάτωρ ἢ ὁ ἀντιφωνητὴς ἀγωνιζέσθω τὴν δίκην καὶ τὸ χρέος ἐκτιννύτω ὑπὲρ τοῦ ἐγγυηθέντος, ἢ ὑπὲρ οὗ τὰς ἐντολὰς [37]) ἔγραψεν ἢ τὴν ἀντιφώνησιν ὑπεισῆλθε, παρὰ τοῦ δανείσαντος ἐκχωρούμενος ἀγωγάς. οὐ

modo serventur. Sed si fidejussor aut mandator aut constitutae pecuniae reus adsit, principalem vero debitorem abesse contingat, demonstret creditor fidejussorem aut constitutae pecuniae reum aut mandatorem, et judex huic negotio praesidens tempus concedat fidejussori, sive constitutae pecuniae reo et mandatori, volentibus principalem debitorem producere, ut ipse prior actionem subeat, et sic ipsi in ultimum reserventur auxilium. Et tueatur fidejussorem vel constitutae pecuniae reum vel mandatorem, ut eum exhibere liceat, pro quo fidejusserunt, ita ut is productus actione eatenus pro ipso inquietatos liberet. Quodsi tempus ad hoc statutum praeterierit, tunc fidejussor aut mandator aut constitutae pecuniae reus litem suscipiat et debitum solvat pro eo, pro quo fidejussit aut mandatum conscripsit aut sese constituit, cessis sibi a creditore actionibus.

28) B: ἐνδειχν.
29) R: ὁ τῷ πρ. δικάζων.
30) L: αὐτοῖς.
31) R: ἐν τῇ.
32) C et L: πεφύλακται βοήθεια.
33) L: ἀναμενέτω.
34) R: αὐτοῦ διενοχλ.
35) B: ἐπὶ τούτῳ.
36) Bodl. 3399: ἐξίκοιτο.
37) C: ὑπὲρ τοῦ ἐγγ. ἐντολάς. L: τὰς κατὰ τοῦ ἐγγ.

μὴν δὲ ἐπὶ τὰ πράγματα τοῦ δανεισαμένου, εἰ παρ' ἑτέρῳ [38]) κατέχοιτο, χωρήσει πρότερον, πρὶν ἂν διελθεῖν τὴν ἐπὶ ταῖς προσωπικαῖς ὁδὸν κατά τε μανδατόρων καὶ ἐγγυητῶν καὶ ἀντιφωνητῶν· οὕτω δὲ ἐπὶ τὰ πράγματα ἐλθεῖν τοῦ πρωτοτύπου, εἴγε παρ' ἑτέρῳ κατέχοιτο καὶ τοὺς ἐπειλημμένους αὐτῶν ἐνοχλήσας. εἰ δὲ μὴ [39]) ἐκεῖθεν σχοίη τὸ ἱκανὸν, τηνικαῦτα χωρείτω κατὰ τῶν πραγμάτων τῶν ἐγγυητῶν καὶ μανδατόρων καὶ ἀντιφωνητῶν· ταὐτὸν δέ ἐστιν εἰπεῖν καὶ εἴ τινας ἔχοιεν ἅπασιν αὐτοῖς σφισιν ὑπευθύνους καὶ ταῖς ὑποθηκαρίαις ἀγωγαῖς ἐνέχεσθαι δυναμένους [40]). κατὰ μέντοι τοῦ πρωτοτύπου καὶ τῶν ὄντων παρ' αὐτῷ πραγμάτων εἴτε ταῖς προσωπικαῖς εἴτε ταῖς ὑποθηκαρίαις εὐθὺς εἴτε ἀμφοτέραις χρήσασθαι βουληθείη, πᾶσαν αὐτῷ δίδομεν ἄδειαν, τὴν ἔμπροσθεν ἡμῖν εἰρημένην ὁδὸν καὶ τάξιν ἐπὶ τῶν ἄλλων προσώπων τε καὶ θεμάτων νο-

Non autem ad res debitoris, si ab alio possideantur, prius deveniat, quam in personam actionum viam ingressus sit adversus mandatores et fidejussores et constitutae pecuniae reos: atque ita ad res principalis debitoris perveniat, si quidem ab alio possideantur, etiam hos detentatores earum interpellans. Quodsi inde satis ipsi non fiat, tunc procedat adversus res fidejussorum et mandatorum et constitutae pecuniae reorum; idemque dicendum est, et si quos habeant sibimet ipsis obligatos, quive hypothecariis actionibus conveniri possunt. Contra principalem sane debitorem et res, quae penes eum sunt, sive personalibus sive hypothecariis statim sive ambabus uti velit, omnem ei damus licentiam, supradictam viam et ordinem in aliis personis et causis

38) B: ἑτέρου.

39) B: μηδέ.

40) Locus corruptissimus, quem quidem ex textu Nov. 4 restitui, glossemate tamen aliquo laborare crediderim. C et L: καὶ εἴ τινος ἐγγύας ἔχοιεν ἅπασί τε αὐτοῖς φησι καὶ τοῖς ὑπευθύνοις καὶ ταῖς ὑποθηκαρίαις ἀγωγαῖς ἐνέχεσθαι δυναμένοις. R: καὶ εἴ τινας ἐγγυητὰς ἅπαντες οὗτοί σφισιν ὑπευθύνους καὶ — δυναμένους. Bodl. 3399: καὶ εἴ τινας ἐγγύας ἔχοιεν ἅπασί τε αὐτοῖς σφισι καὶ τοῖς ὑπευθύνοις καὶ — δυναμέναις.

μοθετήσαντες. καὶ οὐ τοῦτο μόνον ἐπὶ δανειστῶν φαμεν, ἀλλὰ καὶ εἴ τις ὠνήσατό [41]) τι παρά τινος [42]).

ια΄. Εἴ τις δανείσειε χρυσίον τῇ τοῦ δανεισαμένου περιουσίᾳ πιστεύων, ὁ δὲ εἰς ἔκτισιν χρυσίου μὲν οὐκ εὐποροίη, περιουσίαν δὲ ἀκίνητον ἔχοι, ὁ δανειστὴς δὲ ἐπικέοιτο [43]) καὶ χρυσίον πάντως ἐπιζητοίη [44]), τὸ δὲ οὐκ εἴη [45]) πρόχειρον, οὐδέ τις κινητὴ περιουσία [46]), (δίδομεν [47]) τῷ δανειστῇ βουλομένῳ καὶ κινητὰ [48]) πράγματα λαβεῖν ἀντὶ χρυσίου,) ἀλλ' οὐδέ [49]) τις ὠνούμενος ἀκίνητα αὐτῷ [50]) πράγματα παρείη τοῦ δανειστοῦ πολλάκις καὶ [51]) θρυλλοῦντος ὡς ὑπόκειται τὰ τοῦ δανεισαμένου πράγματα καὶ ταύτῃ φοβοῦντος τοὺς [52]) προσιέναι βουλομένους ταῖς ἀγορασίαις· τηνικαῦτα ἐπὶ μὲν τῆς εὐδαίμονος ταύτης πόλεως οἱ ἐνδοξότατοι τῆς ἡμετέρας πολιτείας ἄρχοντες κατὰ τὴν ἑκάστῳ τεταγμένην ὑπὸ τοῦ νόμου καὶ ἡμῶν δικαιοδο-

statuentes. Neque hoc solum de creditoribus dicimus, sed etiam si quis ab alio quid emerit.

11. Si quis aurum dederit facultatibus confidens mutuantis, hic autem ad solutionem auri non sit idoneus, res autem immobiles habeat, sed creditor urgeat et aurum omnino reposcat, illud vero in promtu non sit, neque res aliqua mobilis, (damus enim creditori volenti licentiam res quoque mobiles accipere loco auri,) nec aliquis emtor immobilium rerum, eo quod creditor saepe et dictitet res debitoris sibi esse obligatas, et ita eos, qui ad venditiones accedere volebant, deterreat: tunc in hac quidem felici urbe gloriosissimi nostrae reipublicae magistratus secundum praescriptam cuique a lege et a nobis jurisdictionem, in provinciis autem prae-

41) B: ὠνήσαιτο.

42) Hoc et quod sequitur caput, ex Nov. 4 sumtum est. — Harm. III, 6, 1.

43) C: ἐπίκειται.

44) R: ἐκζητ.

45) R: τῷ δὲ οὐκ ἦν.

46) C: οὐδὲ τῇ κινητῇ περιουσίᾳ, et L cum C consentire videtur.

47) R addit: ἄδειαν.

48) Omnes: ἀκίνητα. Quod omnino corrigendum erat cum Reitzio ad h. l.

49) Bodl. 3399: ἀλλ' εἰ καί.

50) Bodl. 3399: αὐτοῦ. R: τὰ ἀκίνητα αὐτά.

51) Deest in R et Bodlej. 3399.

52) B addit μή.

Digitized by Google

σίαν, ἐν δὲ ταῖς ἐπαρχίαις οἱ τῶν θεμάτων ἡγούμενοι παρασκευαζέτωσαν ἀκριβῶς [53]) διατιμήσεως γενομένης τῶν πραγμάτων τοῦ χρεωστήσαντος δίδοσθαι πρὸς ἀναλογίαν τοῦ χρέους κτῆσιν ἀκίνητον τοῖς δανεισταῖς μετὰ τοιαύτης ἀσφαλείας, μεθ' ἧς ἂν ὁ χρεώστης δοῦναι δυνηθείη. τῶν μέντοι διδομένων ἀκινήτων ἡ [54]) ἐπιλογὴ τῷ δανειστῇ ἔσται· καὶ γὰρ οὐκ ἂν εἴη δίκαιον, τὸν δόντα μὲν χρυσίον, λαβεῖν δὲ [55]) χρυσίον οὐ [56])| δυνάμενον, ἀλλὰ ἀναγκαζόμενον καταδέξασθαι κτῆσιν ἀκίνητον, μὴ τὰ γοῦν [57]) καλλίονα τῶν τοῦ χρεώστου πραγμάτων καὶ ἣν [58]) ἐκεῖνος αἱρεῖται λαβεῖν, καὶ ταύτην οὖν [59]) ἔχειν παραψυχήν, ὅτιπερ εἰ καὶ χρυσίον οὐκ εἴληφεν, ἀλλὰ ἀντ' ἐκείνου τὸ αἱρεθὲν αὐτῷ κατεκτήσατο [60]).

ιβ'. Ὁ τὴν ἰδίαν [61]) συγγραφὴν ἢ τὴν ἐπ' αὐτῷ γινομένην καταβολὴν ἀρνούμενος τὸ διπλάσιον μετ' ἐλέγχους καταθήσει [62]). ὁ δὲ παραυτὰ τοῦ ἀρνήσασθαι ἐξ ἐπιφορᾶς ὅρκου τὴν ἀλήθειαν φανερῶν ἐκφεύξεται

sides earum curent, ut accurate facta aestimatione rerum debitoris pro rata debiti parte res soli creditoribus detur cum tali cautione, qualem debitor dare potuerit. Caeterum ex datis immobilibus electio creditori erit: neque enim aequum foret, si is, qui aurum quidem dedit, sed recipere nequit, verum cogitur accipere possessionem immobilem, non etiam optimas ex debitoris rebus et quam [possessionem] ipse optaverit, acciperet, hocque haberet solatii, quod licet aurum non acceperit, tamen loco illius id, quod ipse elegit, consecutus est.

12. Qui propriam cautionem aut solutionem sibi factam infitiatur, post convictionem duplum dependet. Qui vero statim post infitiationem ex delatione jurisjurandi veritatem declarat, dupli condemnationem effugit,

53) B: ἀκριβοῦς.
54) Deest in B.
55) C non habet.
56) B: μή.
57) In omnibus, praeter L, verbum γοῦν deest.
58) B: ἅ.
59) B: γοῦν.
60) Harm. III, 5, 91.
61) B: οἰκείαν.
62) B: ἀποτίσει.

τὴν καταδίκην τοῦ διπλασίονος· βραδέως δὲ ὁμολογῶν καταθήσει τὰς δαπάνας τῆς δίκης ὅρκῳ τοῦ ἀντιδίκου [63].

ιγ'. Τῷ *ἀρνουμένῳ χρεώστῃ οὐ λογισθήσονται αἱ μετὰ ταῦτα προφερόμεναι* [64] *τῶν καταβολῶν ἀποδείξεις, ἀλλὰ τὸ πᾶν ἀπαιτεῖται* [65].

ιδ'. Εἰ *καὶ πολλοῖς τοῖς πρὸ ἡμῶν ἔδοξε δεκτέαν εἶναι τὴν τῶν τόκων ἔκτισιν, ἴσως διὰ τὴν τῶν δανειστῶν δυσκληρίαν τε καὶ ὠμότητα, ἀλλ' οὖν ὡς ἀναξίαν* [66] *τῆς ἡμῶν τῶν χριστιανῶν πολιτείας ἀπευκταῖαν εἶναι* [67] *κεκρίκαμεν, ἅτε παρὰ τῆς θείας νομοθεσίας κεκωλυμένην. διὸ κελεύει ἡ ἡμετέρα γαληνότης, μηδενὶ μηδαμῶς ἐξεῖναι ἐν μηδεμιᾷ ὑποθέσει τόκον εἰληφέναι* [68], *ἵνα μὴ νόμον φυλάττειν οἰόμενοι νόμον θεοῦ παραβαίνωμεν· ἀλλὰ κἂν εἴ τις ὁσονδήποτε λάβοι, εἰς τὸ χρέος λογισθήσεται* [69].

sed sero confessus sumtus litis secundum adversarii jusjurandum persolvet.

13. Debitorem, qui debitum infitiatur, non juvabunt postea prolatae solutionum probationes, sed totum exigitur.

14. Etsi multis ante nos placuit usurarum solutionem esse admittendam, forte ob creditorum duritiem et crudelitatem, nos tamen ut indignam nostra Christianorum republica abominandam censuimus, quippe divino jure prohibitam. Quapropter serenitas nostra sancit, ne cui unquam in quacunque causa usuram accipere liceat, ne jura custodientes legem dei transgrediamur: sed et si quis quantulamcunque acceperit, in sortem imputabitur.

63) Nov. 18 cap. 8. — Harm. I, 8, 14.

64) M: *προσφερ.*

65) Nov. 18 cap. 8. — Similiter apud Harm. III, 5, 60.

66) C: *ἀξίαν*

67) B addit *ταύτην.* — C: *ἀπευκτέαν.*

68) B: *λαβεῖν.*

69) Haec est nova lex a Basilio excogitata et huic Prochiro inserta, cujus meminit Leo Nov. 83. Dicitur tamen et ante Basilium Nicephorus hujusmodi legem tulisse: de quo vide Cedreni Annales ex edit. Goar. Paris. 1647. p. 480. B. — Leo postea restituit usuras

ΤΙΤΛΟΣ ἙΠΤΑΚΑΙΔΕΚΑΤΟΣ.

Περὶ μισθώσεως.

α′. Ἐὰν συμφωνηθῇ, τοὺς μισθωσαμένους οἶκον [1]) ἀβλαβὲς ἔχειν πῦρ, καὶ τυχηρὰ γένηται καῦσις, οὐκ ἐνέχεται ὁ μισθωσάμενος. εἰ δὲ κατὰ ῥαθυμίαν αὐτοῦ συμβῇ [2]), ἐνέχεται [3]).

β′. Ὁ μισθωσάμενος ἀγέλην οὐκ ἐνέχεται, ἐὰν δειχθῇ, ὅτι χωρὶς ἀπάτης αὐτοῦ λῃσταὶ αὐτὴν ἀφείλοντο. ἀναλαμβάνει δὲ τοὺς μισθοὺς, οὓς ὑπὲρ τοῦ λειπομένου χρόνου δέδωκεν [4]).

γ′. Ὁ ποιμὴν καὶ ὁ ῥάπτης καὶ ὁ κναφεὺς ἀπὸ ῥαθυμίας καὶ ἀπειρίας ἐνέχονται [5]).

δ′. Ἐὰν συμφωνηθῇ [6]) μὴ ἔχειν πῦρ, καὶ σχῇ, ἐνέχεται, εἰ καὶ κατὰ τύχην ἐμπρησμὸς γένηται [7]).

TITULUS DECIMUS SEPTIMUS.

De locatione.

1. Si pactum fuerit, ut conductores aedium innocentem habeant ignem, et fortuitum incendium oriatur, conductor non tenetur. Si vero per negligentiam ejus acciderit, tenetur.

2. Qui gregem conduxit, non tenetur, si probetur, citra fraudem ejus latrones illum abegisse: recipitque mercedes, quas pro reliquo tempore solvit.

3. Pastor et sartor et fullo ex negligentia et imperitia tenentur.

4. Si convenerit, ne habeatur ignis, et habuerit, tenetur, etiamsi casu incendium accidat.

trientes, scilicet usu rerum id exigente: quapropter huic capiti apud Harm. III, 7, 24 temere inscribitur: νεαρὰ τοῦ καίσαρος λέοντος τὸν τόκον ἀπαγορεύουσα.

1) Deest in R.

2) L: συνέβη.

3) P: βιβλ. ιθ′ τί. β′ διατ. θ′ θέ. δ′. — Dig. XIX, 2, 9 §. 3. — Harm. III, 8, 13.

4) L addit: ὁ ἐκμισθώσας. — P: θέ. ε′. — Dig. eod. §. 4. — Harm. §. 14.

5) P: θέ. ζ′. — Dig. eod. §. 5. — Harm. §. 15.

6) R: ἐπιφων.

7) P: διατ. ια′ θέ. β′. — Dig. h. t. dig. 11 §. 1. — Harm. §. 16.

ε'. Ἐὰν συνεφώνησεν ὁ μισθωσάμενος μὴ ἔχειν ἐν τῷ οἴκῳ χόρτον καὶ σχῇ, εἶτα δοῦλος αὐτοῦ ἢ ξένος εἰσαγάγῃ πῦρ καὶ καύσῃ, ἐνέχεται [8]).

ς'. Ἐὰν ναύκληρος μὴ δυνάμενος εἰσελθεῖν ἐν τῷ λιμένι μεταγάγῃ τὰ φορτία εἰς πλοῖόν σου καὶ ναυαγήσῃ τὸ σὸν, ἐνέχεται ὁ πρῶτος ναύκληρος, ἐὰν παρὰ γνώμην τῶν δεσποσῶν τὰ φορτία μετήγαγεν ἢ παρὰ καιρὸν ἢ εἰς ἀνεπιτήδειον πλοῖον. εἰ δὲ μὴ ἐποίησε ῥαθυμίαν, οὐκ ἐνέχεται [9]).

ζ'. Ἐὰν πλοῖον ναυαγήσῃ διὰ τὸ μὴ σχεῖν [10]) κυβερνήτην, ἐνέχεται τοῖς ἐπιβάταις ὁ ναύκληρος [11]).

η'. Τοῦ πλοίου ναυαγήσαντος ὁ ναύκληρος ἀποδίδωσι τὰ ναῦλα, ἅπερ ἔλαβεν ἐν προχρείᾳ, ὡς μὴ [12]) μετακομίσας [13]).

ϑ'. Ἐὰν λάβῃ τὶς ἐπὶ τὸ ἐγκλεῖσαι ἢ γλύψαι λιθέαν [14]) καὶ κλάσῃ [15]), εἰ μὲν ἐξ ἀπειρίας τοῦ τεχνίτου,

5. Si promiserit conductor, se foenum in aedibus non habiturum, et habuerit, ac deinde proprius aut alienus servus ignem intulerit atque incenderit, tenetur.

6. Si navicularius, quum portum intrare non posset, merces in tuam navem transtulerit et navis tua perierit, tenetur primus navicularius, si invitis dominis merces transtulit, aut non opportuno tempore, aut in navem minus idoneam. Quod si culpam haud admisit, non tenetur.

7. Si navis pereat propterea quod gubernatorem non habuit, magister navis vectoribus tenetur.

8. Nave amissa magister navis vecturam reddit, quam pro mutua accepit, ut qui non transvexit.

9. Si quis gemmam acceperit includendam aut sculpendam et fregerit, si quidem ex artificis imperitia,

8) P: διατ. ιβ'. — Dig. l. c. dig. 11 §. 4. dig. 12. — Harm. §. 17.

9) P: βιβλ. ιϑ' τί. β' διατ. ιγ' ϑέ. β'. — Dig. eod. dig. 13 §. 1. — Harm. II, 11, 22.

10) B: ἔχειν.

11) P: διγ. ιγ' ϑέ. γ'. — Dig. l. c. §. 2. — Harm. eod. §. 20.

12) Deest in B.

13) P: διατ. γ' ϑέ. ς'. — Dig. h. t. dig. 15 §. 6. — Harm. eod. §. 21.

14) C: λιθαίαν.

15) L: κλασθῇ. R: κλαύσθῃ.

Digitized by Google

ἐνέχεται. εἰ δὲ ἀπὸ [16]) *αἰτίας τῆς ὕλης, οὐκ ἐνέχεται, εἰ μὴ τὸν κίνδυνον ἀνεδέξατο* [17]).

ι'. Ἐὰν μυόβρωτον γένηται τὸ δοθὲν τῷ κναφεῖ, ἐνέχεται· καὶ ἐὰν ἑτέρῳ τοῦ ἑτέρου [18]) *παράσχῃ, κἂν ἐν ἀγνοίᾳ* [19]).

ια'. Ἐὰν παριόντων τῶν στρατιωτῶν παραχωρήσῃ ὁ μισθωσάμενος, καὶ οἱ στρατιῶται τὰς θυρίδας ἢ ἕτερόν τι ἀφέλωνται, ἐνέχεται, εἰ [20]) *δυνάμενος οὐκ ἀπήγγειλε τῷ δεσπότῃ, ἢ δυνάμενος οὐκ ἀντέστη τοῖς στρατιώταις* [21]).

ιβ'. Ἐὰν μετὰ τὸ πληρωθῆναι τὸν χρόνον τῆς μισθώσεως συναινοῦντος ἑκατέρου μέρους ὁ μισθωσάμενος ἐπιμείνοι, ἀνανεοῦται εἰς ἐκεῖνον μόνον τὸν ἐνιαυτὸν ἡ μίσθωσις, οὐ μὴν καὶ εἰς ὅλον τὸν λειπόμενον χρόνον, εἴγε εἰς πενταετίαν τυχὸν ἦν ἡ προτέρα μίσθωσις· ὅπερ καὶ ἐπὶ πολιτικῶν ἐστὶ [22]) *μισθώσεων. εἰ δὲ καὶ τὸν δεύτερον ἐπιμείνοι, ἐνέχεται* [23]) *εἰς αὐτόν, καὶ ἐπὶ τῶν ἑξῆς ὁμοίως* [24]).

tenetur: sin ex vitio materiae, non tenetur, nisi periculum in se recepit.

10. Si a muribus corrodatur, quod fulloni datum est, tenetur: et si alii rem alterius dederit, licet ignarus.

11. Si praetereuntibus militibus colonus migraverit, et milites fenestras aut aliud quid abstulerint, tenetur: si, cum posset, domino non renuntiavit, aut, cum posset, militibus non restitit.

12. Si post impletum conductionis tempus utraque parte consentiente conductor maneat, renovatur in solum istum annum locatio, non autem in omne quod residuum est tempus, si forte in quinquennium prior locatio contracta fuerat; quod etiam in publicis obtinet locationibus. Quod si et alterum maneat annum, tenetur illius nomine, et similiter in sequentibus.

16) B: ἐξ.

17) P: θέ. ζ'. — Dig. h. t. dig. 13 §. 5. — Harm. III, 8, 18.

18) B: τὸ ἕτερον. Bodlej. 3399: ἕτερος τῷ ἑτέρῳ.

19) P: θέ. η'. — Dig. eod. §. 6. — Harm. §. 19.

20) R: εἴγε μὴ δυνάμ. Male.

21) Dig. eod. §. 7. — Harm. §. 11.

22) C: ἔτι.

23) B addit καί.

24) P: θέ. ιβ'. — Dig. eod. §. 11. — Harm. §. 20.

ιγ'. Ἐάν τις ἑνὶ ἐνιαυτῷ [25]) συγχωρήσῃ τῷ μισθωσαμένῳ διὰ τὴν ἀφορίαν, καὶ εὐφορία ἐν τοῖς ἑξῆς ἐνιαυτοῖς γένηται, λαμβάνει τὸ συγχωρηθέν. εἰ δὲ ἐν τῷ ὑστέρῳ ἐνιαυτῷ γέγονεν ἡ ἀφορία [26]) καὶ ἡ συγχώρησις, τῶν πρώτων [27]) εὐφορησάντων, ἐὰν οἶδεν ὁ μισθωτής, [οὐ] [28]) συλλογίζεται [29]).

ιδ'. Εἰ καὶ [30]) ἐν ἀγνοίᾳ μισθώσω πίθους κεκλασμένους καὶ ἐκχυθῇ ὁ οἶνος, εἰς τὸ διαφέρον [31]) ἐνέχομαι [32]).

ιε'. Εἰ δὲ τόπον εἰς [33]) βοσκὴν μισθώσω καὶ ἐκ τῶν ἐν αὐτῷ κακῶν βοτανῶν βλαβῶσι τὰ θρέμματα [34]), εἰ μὲν ᾔδειν, εἰς τὸ διαφέρον ἐνέχομαι· εἰ δὲ ἠγνόουν, οὐκ ἀπαιτῶ τὸν μισθόν [35]).

ιϛ'. Ἐὰν δίαιταν [36]) εἰς ἐνιαυτὸν μισθωσάμενος

13. Si quis uno anno remissionem dederit colono ob sterilitatem, et ubertas in sequentibus annis contingat, recipit quod remisit. Quod si in novissimo anno sterilitas eveniat, et remissio facta sit, quum superiores uberes fuissent, si scit locator, non computatur.

14. Etiamsi ignarus vasa pertusa locavero, vinumque effluxerit, in id quod interest teneor.

15. Et si locum ad pasturam locavero, et ex malis herbis in eo nascentibus pecora laedantur, si scivεrim, in id quod interest teneor: sin ignoravi, mercedem non exigo.

16. Si coenaculum in annum conducens totam mer-

25) B: ἐνιαυτόν.
26) L: εὐφορία.
27) C: πρῶτον.
28) Illud οὐ addidi, quia aliter hic locus idoneum sensum non praebet: sed deest in omnibus, quos novi, Prochiri Codicibus: item in Codd. Epanagoges auctae, et Cod. Epitomae Bodlej. 173. Singularem plane lectionem exhibet Bodl. 3399: καὶ ἡ συγχώρησις τῶν πρώτων εὐφρονησάντων (l. εὐφορ.) εὖ ἔχει, ἐὰν οἶδεν ὁ μισθωτὸς συλλογίζεσθαι.
29) P: διατ. ιε' θέ. δ'. — Dig. h. t. dig. 15 §. 4. — Harm. §. 9.
30) L: Εἰ δὲ καί.
31) L: διάφορον.
32) P: διατ. ιθ'. — Dig. h. t. dig. 19 §. 1. — Harm. §. 21.
33) R: ἢ.
34) R: βλαβῶσιν ἢ φθαρῶσι τὰ πρόβατα.
35) P: θέ. β'. — Dig. eod. — Harm. §. 22.
36) C: διετίαν.

ὅλον παράσχω τὸν μισθὸν, καὶ πέσῃ ἢ καυθῇ τῷ ἕκτῳ μηνὶ, ἀναλαμβάνω τὸ λοιπόν [37]).

ιζ'. Ὁσάκις ἐπὶ τὸ [38]) γενέσθαι τὶ δίδοται, μίσθωσίς ἐστιν [39]).

ιη'. Ἐὰν συνεφωνήθη κυρωθῆναι τὸ ἔργον δοκιμασίᾳ τοῦ δεσπότου, ἀνδρὸς ἀγαθοῦ δοκιμασίαν ἐπιζητοῦμεν. τὸ αὐτὸ κἂν εἰς τὴν [40]) δοκιμασίαν ἑτέρου τὸ ἔργον ἀναγάγωμεν [41]). οὐκ ἔχει δὲ ὁ τοιοῦτος ἄδειαν τὸν χρόνον ἐκτείνειν, ἐν ᾧ τὸ ἔργον συνεφωνήθη γενέσθαι, ἀλλὰ μόνον τὸ ἔργον δοκιμάζει [42]).

ιθ'. Ὁ ἐπὶ χρήμασι μισθωσάμενος τὴν συμβαίνουσαν τοῖς καρποῖς ἄμετρον βλάβην ἐκ τῆς λεγομένης θεομηνίας οὐκ ἐπιγινώσκει, ἀλλὰ τὴν μετρίαν. ὁ δὲ τοὺς καρποὺς μεριζόμενος, μισθωσάμενος [43]) ὡσανεὶ δικαίῳ κοινωνίας, καὶ τὸ κέρδος καὶ τὴν ζημίαν συμμερίζεται τῷ δεσπότῃ [44]).

κ'. Ἐάν τις ἐπὶ τὸ μετακομίσαι μισθώσηται κίο-

cedem persolverim, idque collabatur vel conflagret sexto mense, recipio reliquum.

17. Quoties quid datur ut quid fiat, locatio est.

18. Si convenerit, ut opus approbetur arbitrio domini, boni viri arbitrium requirimus. Idem est, etsi ad arbitrium alterius opus referamus. Huic tamen non licet prorogare tempus, quo convenit opus absolvi, sed solum opus probat.

19. Qui nummis conduxit, immodicum damnum frugibus ex ita dicta numinis ira accidens haud agnoscit, sed modicum. Colonus autem, qui fruges partitur, tanquam societatis jure et lucrum et damnum cum domino partitur.

20. Si quis transportandam conduxerit columnam,

37) P: θέ. ϛ'. — Dig. eod. §. 6. — Harm. §. 23.

38) B: τῷ.

39) P: διατ. κβ' θέ. β'. — Dig. h. t. dig. 22 §. 1. — Harm. §. 24.

40) Deest in B.

41) B: ἀγάγωμεν.

42) P: διατ. κδ'. — Dig. h. t. dig. 24 pr. — Harm. §. 25.

43) Bodl. 173 et 3399: μετὰ τοῦ μισθωσαμένου.

44) P: διατ. κε'. — Dig. h. t. dig. 25 §. 6. — Harm. §. 7.

να, καὶ κλασθῇ ἐν τῷ κουφίζεσθαι ἢ βαστάζεσθαι ἢ ἀποτίθεσθαι, οὐκ ἐνέχεται εἰ μὴ ἀπὸ ῥαθυμίας οἰκείας καὶ τῶν ὑπουργούντων αὐτῷ. ἐστέρηται δὲ ῥαθυμίας, εἰ πάντα γέγονεν, ἅπερ ἐπιμελέστατός τις ἔπραττεν. τὸ αὐτὸ καὶ ἐπὶ [45]) πίθων καὶ ξύλων καὶ τῶν ἄλλων πραγμάτων [46]).

κα'. Ὁ μισθωσάμενος ἄλογον ἐπὶ τὸ βαστάσαι τί δῆλον καὶ βαρύτερον ἐπιθεὶς, βλαπτομένου αὐτοῦ ἐνέχεται, ὁστισδήποτε εἰ [47]) ἔβλαψεν [48]).

κβ'. Ὁ λαβὼν μισθὸν ἐπὶ φυλακῇ πράγματος κινδυνεύει [49]) περὶ τὴν αὐτοῦ φυλακήν [50]).

κγ'. Ὁ κλέπτων τὸν μισθωθέντα αὐτῷ δοῦλον [51]) ἐνέχεται ὡς κλέπτης [52]).

κδ'. Ἐὰν ὁ μισθώσας [53]) ὁμολογήσῃ ποινὴν διδόναι τῷ μισθωσαμένῳ, εἴπερ αὐτὸν ἐξεώσηται [54]) πρὸ συμπληρώσεως τῆς πενταετίας, ἀζημίως αὐτὸν ἐξεοῦ-

eaque inter levandum, portandum aut deponendum fracta sit, non tenetur, nisi ex propria negligentia aut ministrorum suorum. Caret autem culpa, si omnia sint facta, quae diligentissimus homo fecisset. Idem in vasis et lignis aliisque rebus.

21. Qui conduxit jumentum ad portandum certum onus et gravius imposuit, tenetur si laesum fuerit, quisquis tandem laeserit.

22. Qui mercedem pro custodia rei accipit, periculum illius custodiae praestat.

23. Qui locatum sibi servum surripit, tenetur ut fur.

24. Si locator promiserit conductori poenam dare, si eum ante impletum quinquennium expelleret, impune

45) B: περί.

46) P: θέ. ζ'. — Dig. eod. §. 7. — Harm. §. 26.

47) Deest in B.

48) P: διγ. λ' θέ. γ'. — Dig. h. t. dig. 30 §. 2. — Harm. §. 27.

49) B: ἐγκινδ.

50) P: διγ. μ'. — Dig. h. t. dig. 40. — Harm. §. 28 pr.

51) R addit οὐκ.

52) P: διγ. μβ'. — Dig. h. t. dig. 42. — Harm. §. 29.

53) C: μισθωσάμενος.

54) R: ἐξώσηται.

Digitized by Google

ται [55]) μὴ καταβάλλοντα τὸν μισθὸν ἐμπροθέσμως ἢ μὴ γεωργοῦντα χρησίμως [56]).

κε'. Ἐὰν χωρὶς αἰτίας καταλίπῃ [57]) τὸν ἀγρὸν ὁ μισθωσάμενος πρὸ συμπληρώσεως τοῦ χρόνου, δίδωσιν ὅλου τοῦ χρόνου τὸν μισθόν [58]).

κϛ'. Τῶν ἐνοίκων ἐπὶ πολὺν χρόνον τουτέστιν ἐπὶ διετίαν μὴ φαινομένων μήτε τὸ στεγονόμιον καταπιθέντων, ἔξεστιν οἷς διαφέρει ἀνοίγειν καὶ παρουσίᾳ [59]) δημοσίων προσώπων ἀπογράφεσθαι τὰ ἐκεῖ ὄντα [60]).

κζ'. Ἐὰν τὸ γενόμενον ἔργον ἀπὸ σεισμοῦ παρασαλευθῇ, τοῦ μισθώσαντός ἐστιν ὁ κίνδυνος [61]).

κη'. Ἐὰν πρὸ δοκιμασίας πέσῃ τὸ ῥεῖθρον, εἰ μὲν ἀπὸ αἰτίας τοῦ ἐδάφους, ὁ μισθώσας ζημιοῦται. εἰ δὲ ἐξ ἐλαττώματος τοῦ ἔργου, ὁ μισθωσάμενος [62]).

eum expellit, si pensionem intra praestitutum tempus non solvat aut agrum non colat utiliter.

25. Si colonus ante tempus finitum sine causa agrum deseruerit, totius temporis pensionem pendit.

26. Inquilinis multo tempore id est per biennium non comparentibus neque mercedem solventibus, licet iis, quorum interest, aperire et praesentibus personis publicis describere, quae ibi inveniuntur.

27. Si factum opus terrae motu labefactatum sit, locatoris periculo est.

28. Si ante probationem rivus conciderit, si quidem soli vitio, locatoris damno est: sin ex operis vitio, redemtoris.

55) R: ἐξωθεῖται.

56) P: διατ. νδ'. — Dig. h. t. dig. 54 §. 1. — Harm. §. 30.

57) C: καταλείποι.

58) Dig. h. t. dig. 55 §. 2. — Harm. §. 32.

59) B: παρόντων.

60) P: διγ. νζ'. — Dig. h. t. dig. 56. — Harm. §. 33.

61) P: διατ. ξ'. — Dig. h. t. dig. 59. — Harm. §. 35.

62) P addit: ζημιοῦται. — Dig. h. t. dig. 62. — Harm. §. 36.

ΤΙΤΛΟΣ ʼΟΚΤΩΚΑΙΔΕΚΑΤΟΣ.

Περὶ καταθήκης [1].

α'. Παρακαταθήκη ἐστὶ τὸ ἐπὶ παραφυλακῇ τινι διδόμενον [2].

β'. Ἐπὶ τῶν ἀπὸ θορύβου ἢ ἐμπρησμοῦ ἢ συμπτώσεως ἢ ναυαγίου παρατιθεμένων κατὰ μὲν τοῦ λαβόντος εἰς τὸ διπλοῦν ἀγωγὴ ἁρμόζει, κατὰ δὲ τῶν κληρονόμων ἀπὸ μὲν δόλου τοῦ διατιθεμένου εἰς τὸ ἁπλοῦν, ἀπὸ δὲ οἰκείου εἰς τὸ διπλοῦν [3]. ἐπὶ δὲ τῶν λοιπῶν παρακαταθηκῶν εἰς τὸ ἁπλοῦν [4] ἡ ἀγωγὴ δίδοται [5].

γ'. Εἴτε ὁ τὴν παρακαταθήκην δεξάμενος εἴτε ὁ κληρονόμος αὐτοῦ ἐναχθῇ, καὶ φυσικῶς τὸ πρᾶγμα πρὸ ψήφου φθαρῇ, (τυχὸν γὰρ δοῦλος ἦν καὶ ἀπέθανεν,) ἐλευθεροῦται, εἴγε καὶ παρὰ τῷ ἐνάγοντι [6] ἀποκαταστὰν ἀπόλλοιτο [7].

TITULUS DECIMUS OCTAVUS.

De deposito.

1. Depositum est, quod custodiendum alicui datur.

2. De iis, quae tumultus, incendii, ruinae aut naufragii causa deposita sunt, adversus ipsum quidem, qui accepit, in duplum actio competit: adversus heredes autem, ex dolo quidem testatoris in simplum, ex proprio in duplum. Sed ex ceteris depositionibus in simplum actio datur.

3. Sive ipse depositarius sive heres conveniatur, et naturaliter res ante sententiam perierit, (forte enim servus erat, isque mortuus est,) absolvitur, siquidem ea res etiam actori restituta peritura fuisset.

1) R: παρακαταθήκης.

2) P: βιβλ. ιϛ' τί. γ' διατ. α'. — Dig. XVI, 3, 1 pr. — Harm. III, 9, 1.

3) Praeter unum R, omnes Prochiri et Epanagoges Codices, nec non Bodl. 173 et 3399 vice versa legunt: εἰς τὸ διπλοῦν, ἀπὸ δὲ οἰκείου εἰς τὸ ἁπλοῦν Et ita etiam Harm. legisse videtur.

4) R: διπλοῦν.

5) P: θέ. β'. — Dig. eod. §. 1. — Harm. §. 5.

6) B: τὸν ἐνάγοντα.

7) P: διγ. ιδ' ἐν τέλει. — Dig. h. t. dig. 14 §. 1. — Harm. §. 6.

δʹ. Τῆς παρακαταθήκης καὶ οἱ καρποὶ καὶ οἱ τοκετοὶ καὶ πᾶν πρᾶγμα ἀπαιτεῖται [8]).

εʹ. Ὁ παραθέμενος δύναται παραχρῆμα κινῆσαι τὴν περὶ καταθήκης [9]) διαγωγήν [10]), καὶ μὴ ἀποδιδοὺς ὁ δεξάμενος δόλον ποιεῖ, εἰ μὴ ἀλλαχοῦ ἐστιν, ἢ ἀποκέκλεισται ἐν τόπῳ τέως ἀνοιγῆναι μὴ δυναμένῳ, ἢ οὐκ ἐξῆλθεν ἡ αἵρεσις τῆς παρακαταθήκης [11]).

ϛʹ. Κἂν [12]) ὁ δοῦλός μου κἂν [13]) ὁ καλῇ πίστει δουλεύων μοι [14]) παράθηται τὸ ἀνῆκόν μοι, ἔχω τὴν ἀγωγὴν τὴν περὶ καταθήκης [15]).

ζʹ. Καὶ κληρονομιαίου δούλου [16]) ὁ κληρονόμος ζητεῖ [17]) τὴν παρακαταθήκην [18]).

ηʹ. Εἴτε περίεστιν ὁ παραθέμενος δοῦλος, εἴτε ἀπέθανεν ἢ ἠλευθερώθη ἢ ἐξεποιήθη, ὁ δεσπότης ζητεῖ

4. Rei depositae et fructus et partus et omnis causa petitur.

5. Is qui deposuit depositi actionem statim instituere potest, et depositarius non reddens dolum committit: nisi res alibi sit, aut in loco, qui tunc aperiri nequit, reclusa sit, aut depositionis conditio nondum extiterit.

6. Sive servus meus sive is, qui bona fide mihi servit, rem ad me pertinentem deposuerit, habeo actionem de deposito.

7. Et servi hereditarii depositum heres repetit.

8. Sive vivat servus, qui deposuit, sive mortuus aut manumissus aut alienatus sit, depositum dominus

8) P, qui tamen haud temere hoc caput sequenti postponit: διγ. αʹ θέ. ιϛʹ. — Dig. h. t. dig. 1 §. 24. — Harm. §. 7.

9) L: τὴν παρακαταθ. R: τὴν περὶ παρακαταθ.

10) B: ἀγωγήν.

11) P: διγ. αʹ θέ. ιβʹ. — Dig. eod. §. 22. — Harm. §. 8.

12) L et M: Ἐάν.

13) C: καί.

14) M addit: ἢ ὁ τὴν χρῆσιν ἔχων.

15) L et R: παρακαταθ. — P: θέ. ιγʹ. — Dig. eod. §. 27. — Harm. §. 9.

16) L in margine: παραθεμένου, quod in textum recepit M.

17) L: ζητεῖ ἔχει τὴν περὶ παρακαταθήκης ἀγωγήν. M: ζητεῖ τὴν τῆς παρακαταθήκης ἀγωγήν.

18) P: θέ. ιϛʹ. — Dig. eod. §. 29. — Harm. §. 10.

Digitized by Google

τὴν παραθήκην [19]), οὐ μὴν αὐτὸς ὁ ἐλευθερωθεὶς οὔτε ὁ νέος αὐτοῦ δεσπότης. τῇ γὰρ ἀρχῇ προσεκτέον τοῦ συναλλάγματος [20]).

θ'. Δοῦλός σου παρέθετό μοι χρήματα ἐπὶ τὸ [21]) δοῦναί σοι ὑπὲρ τοῦ ἐλευθερῶσαι αὐτόν. εἰ μὲν διδοὺς ἐποίησά σε τῶν παρακολουθησάντων ἐν εἰδήσει οὐκ ἐνέχομαι· εἰ δὲ ὡς ἴδια δέδωκα, ὑπόκειμαι διδόναι ὡς παρακαταθήκην. ὁ γὰρ ὡς ἴδια δοὺς οὐκ ἀποδοῦναι δοκεῖ τὴν παρακαταθήκην [22]).

ι'. Ὁ μὴ τῆς παρακαταθήκης ὡς τῶν ἰδίων ἐπιμελούμενος δόλον ποιεῖ [23]).

ια'. Ἐὰν ἐξ ἐπιδρομῆς λῃστῶν ὁ τὴν παρακαταθήκην λαβὼν ἀπώλεσε τὰ παρατεθέντα αὐτῷ, οὐ κινδυνεύεται τοῖς κληρονόμοις αὐτοῦ ἡ ἀπώλεια. ὁ γὰρ παραθήκην [24]) λαμβάνων δόλον μόνον καὶ ῥαθυμίαν καὶ ἀμέλειαν ἀπαιτεῖται, εἰ μὴ ῥητῶς καὶ [25]) ἕτερόν τι συνεφωνήθη. ἐὰν δὲ [26]) ἀποκεχρημένος τῇ προφάσει

petit, non ipse manumissus nec novus dominus: principium enim contractus attendendum est.

9. Servus tuus pecuniam apud me deposuit, quam tibi darem ut ipsum manumitteres. Si quidem ego inter dandum certiorem te fecero eorum, quae acta fuerunt, non teneor: sed si ut proprios nummos dedero, cogor reddere ut depositum. Qui enim ut suum dat, depositum reddere non videtur.

10. Qui in deposito eandem quam in suis non adhibet diligentiam, dolo facit.

11. Si ex incursu latronum is, qui depositum accepit, commendata sibi amiserit, damnum illud non est periculo heredum ejus. Qui enim depositum accipit, dolum tantum et culpam et negligentiam praestat, nisi et aliud quid nominatim convenit. Quodsi praetextu

19) B: παρακαταθ.

20) P: θέ. ιζ'. — Dig. eod. §. 30. — Harm. §. 11.

21) B: τῷ.

22) P: θέ. ιθ'. — Dig. eod. §. 33. — Harm. §. 12.

23) P: διγ. λβ' — Dig. h. t. dig. 32. — Harm. §. 13.

24) B: παρακαταθ.

25) In B deest.

26) R addit μή.

τῆς αἰτίας [27]) ἢ ἄλλης τυχηρᾶς περιστάσεως, καὶ ἔχων τὰ παρατεθέντα πράγματα ὁ κληρονόμος ἢ κατὰ δόλον παυσάμενος ἔχειν αὐτὰ μὴ ἀποκαθίστησιν, ἐνέχεται τῇ ἀγωγῇ τῆς παρακαταθήκης [28]).

ιβ'. Ὁ ἐγγυησάμενος τὸν λαβόντα παρακαταθήκην ἐνέχεται, κἂν δόλον μὲν ὁ λαβὼν οὐκ [29]) ἐποίησεν, ἔχει δὲ τὸ πρᾶγμα· τί γὰρ [30]) ὅτι μαίνεται, ἢ ὀρφανὸς καὶ ἄνηβός ἐστιν, ἢ ἀδιάδοχος ἐτελεύτησεν; καὶ ἀναγκαζέτω [31]) παρέχειν [32]) ὁ ἐγγυητής, ὅσα λόγῳ παρακαταθήκης εἴωθε δίδοσθαι [33]).

ιγ'. Ὁ παρ' ἑκατέρου μέρους ἢ διαλύσεως συμβόλαια ἢ ἄλλα τινὰ δικαιώματα κατὰ παρακαταθήκην λαβών, ἀνάγκην ἔχει φυλάττειν τὰ σύμφωνα, ἐφ' οἷς τὴν παρακαταθήκην ἔλαβεν [34]).

ιδ'. Ὁ λαβὼν πρᾶγμα εἰς παραθήκην [35]), καὶ παραθέμενος αὐτὸ ἐγγράφως ἑτέρῳ τινί, οὐ καλῶς παραιτεῖται ἀποκαταστῆσαι ἅπερ ἔλαβεν ἐκ τοῦ προφέρειν

causae vel alterius fortuiti casus utatur, et quum depositas res habeat vel dolo desierit possidere, heres eas non restituat, tenetur depositi actione.

12. Fidejussor depositarii tenetur, etiamsi is dolum non commiserit, sed rem teneat; quid enim, si furat, aut pupillus et impubes sit, aut sine successore decesserit? Et cogatur praestare fidejussor, quaecunque depositi nomine praestari solent.

13. Qui ab utraque parte vel transactionis instrumenta vel alia quaedam documenta in depositum accepit, pacta servare necesse habet, quibus depositum accepit.

14 Qui rem in depositum accepit, eamque apud alium interveniente scriptura deposuit, non recte quae

27) In B conjectura in margine adjicitur: ληστείας.
28) Cod. IV, 34, 1. — Harm. §. 15 et 17.
29) Deest in B.
30) C: τῷ πράγματι ὅτι.
31) B: ἀναγκάζεται.
32) B: παρασχεῖν.
33) B: γίνεσθαι. — P: διγ. α' θέ. ζ'. — Dig. h. t. dig. 1 §. 14. — Harm. §. 18.
34) Cod. h. t. const. 6. — Harm. §. 19.
35) B: παρακαταθ.

τὸν χάρτην εἰς ἀπόδειξιν τοῦ ὅτι ἑτέρῳ ταῦτα [36]) παρέθετο [37]).

ΤΙΤΛΟΣ ʼΕΝΝΕΑΚΑΙΔΕΚΑΤΟΣ.

Περὶ συστάσεως κοινωνίας.

α΄. Συνίσταται κοινωνία, ἢ [1]) ἕως οὗ ζῶσιν οἱ κοινωνοῦντες, ἢ πρὸς καιρὸν, ἢ ἀπὸ καιροῦ, ἢ ὑπὸ αἵρεσιν [2]).

β΄. ʼΕν τῇ συστάσει τῆς κοινωνίας οὐδὲν δεῖ περὶ τῆς ἀπαγορεύσεως συμφωνεῖν. κατὰ φύσιν γὰρ τῆς κοινωνίας ὁ παρὰ καιρὸν ἀπαγορεύσας ἐνέχεται [3]).

γ΄. ʼΕὰν ῥητῶς πάντων τῶν πραγμάτων γένηται κοινωνία, καὶ κληρονομία καὶ ληγάτα [4]) καὶ δωρεαὶ καὶ πᾶν κέρδος τῇ κοινότητι προσπορίζεται [5]).

δ΄. ʼΕὰν συμφωνήσωμεν κοινὴν εἶναι τὴν ὡς εἰκὸς ἐρχομένην εἰς ἕνα ἡμῶν δικαίαν κληρονονομίαν, οὐ

accepit restituere recusat chartam proferens, qua probet, se illa apud alium deposuisse.

TITULUS DECIMUS NONUS.

De contrahenda societate.

1. Contrahitur societas, vel donec vivunt socii, vel ad tempus, vel ex tempore, vel sub conditione.

2. In contrahenda societate nihil opus est de renuntiatione cavere. Ex natura enim societatis tenetur, qui intempestive renuntiat.

3. Si nominatim omnium rerum coëatur societas, et hereditas et legata et donationes et omne lucrum communioni acquiritur.

4. Si pacti fuerimus, ut si forte alterutri nostrum

36) R: αὐτά.
37) Cod. h. t. const. 7. — Harm. §. 20.
1) Deest in B.
2) P: βιβλ. ιζ΄ τί. β΄ διγ. α΄. — Dig. XVII, 2, 1. — Harm. III, 10, 1.
3) Dig. eod. dig. 17. — Harm. §. 2.
4) R: λεγάτον.
5) P: διγ. γ΄ θέ. β΄. — Dig. h. t. dig. 3 §. 1. — Harm. §. 6.

περὶ τῆς ἐκ διαθήκης δοκοῦμεν λέγειν, ἀλλὰ περὶ τῆς νομίμου [6]).

ε'. Συνίσταται κοινωνία πράγματι [7]) *καὶ ῥήμασι καὶ δι' ἀγγέλου* [8]). *καὶ διαλύεται ἀπαγορεύσει, θανάτῳ* [9]) *καὶ ἀπορίᾳ* [10]).

ϛ'. Συνίσταται καὶ ἐπὶ πᾶσι τοῖς πράγμασι, καὶ ἐπὶ πραγματείᾳ [11]), *καὶ ἐπὶ τέλει, καὶ ἐφ' ἑνὶ πράγματι, καὶ μεταξὺ τῶν ἄνισον οὐσίαν ἐχόντων. ὁ γὰρ πενέστερος ὡς ἐπίπαν τὸ λεῖπον ἐν χρήμασι διὰ τῆς σπουδῆς ἀντεισάγει* [12]).

ζ'. Ἐὰν ἁπλῶς γένηται κοινωνία καὶ μὴ λεχθῇ ἐπὶ τίνι, δοκεῖ συνίστασθαι ἐπὶ τῷ περιγενομένῳ πόρῳ καὶ κέρδει ἀπὸ πράσεως καὶ ἀγορασίας, μισθώσεως καὶ ἐκλήψεως [13]). *πόρος γάρ ἐστιν ὁ ἀπὸ καμάτου τινὶ περιγινόμενος. κληρονομίαι δὲ καὶ ληγάτα καὶ δωρεαὶ οὐ περιέχονται· αἱ γὰρ δωρεαὶ ὡς μισθός τινος ἡγησαμένου περιγίνονται ἡμῖν* [14]).

justa obvenisset hereditas, ea communis esset, non de testamentaria sed de legitima loqui videmur.

5. Contrahitur societas re et verbis et per nuntium, et dissolvitur renuntiatione, morte et egestate.

6. Contrahitur quoque in cunctis rebus, et in negotiatione, et in vectigali, et in singulis rebus, et inter eos, qui inaequales habent facultates: pauperior enim ut plurimum, quod in bonis deest, per diligentiam confert.

7. Si societas simpliciter contrahatur, nec dictum sit in qua re, videtur contracta in obveniente quaestu et lucro ex venditione vel emtione, et locatione vel conductione. Quaestus enim est, qui ex labore alicui obtingit. Hereditas autem et legata et donationes non continentur: namque donationes ut merces praecedentis meriti nobis obveniunt.

6) P: *θέ. γ'.* — Dig. eod. §. 2. — Harm. §. 7.

7) C: *πράγμασι.*

8) R: *διαγγελίᾳ.*

9) C: *θανάτου.*

10) P: *διγ. δ'.* — Dig. h. t. dig. 4. — Harm. §. 8.

11) R: *πράγματι.*

12) P: *διγ. ε'.* — Dig. h. t. dig. 5. — Harm. eod.

13) C addit: *συνίσταται.*

14) P duas §§ facit, priori

η'. Εἰ καὶ συμφωνηθῇ εἴσω δήλου καιροῦ μὴ λυθῆναι τὴν κοινωνίαν [15]), ἐξ εὐλόγου αἰτίας λύεται. τί γὰρ ὅτι ἡ αἵρεσις, ἐφ' ᾗ συνέστη, οὐκ ἐγένετο, ἢ ὑβριστὴς καὶ ἐπιζήμιός ἐστιν ὁ κοινωνὸς, ἢ οὐκ ἔστι καρπίζεσθαι τὸ πρᾶγμα, δι' ὃ [16]) συνέστη ἡ κοινωνία [17]);

θ'. Ἐὰν ἀπαγορεύσω τῷ ἀπολιμπανομένῳ μου κοινωνῷ, ὅσα μὲν κτήσομαι ἕως οὗ μάθῃ κοινὰ γίνεται, ἡ δὲ ζημία μόνον ἐμὲ ὁρᾷ. τὸ δὲ κέρδος τοῦ κοινωνοῦ αὐτοῦ μόνου ἐστὶ καὶ ἡ ζημία κοινή [18]).

ι'. Τὰ ἐξ οἰκείας ἀμελείας συμβαίνοντα ἐπιγινώσκει ὁ κοινωνὸς, κἂν ἐν πολλοῖς ἑτέροις ὠφέλησεν [19]).

ια'. Τὰ συστάντα χρέη τῷ καιρῷ τῆς κοινωνίας ἐκ τοῦ κοινοῦ [20]) δίδοται. καὶ ἐὰν πρὸ τῆς καταβολῆς τοῦ χρέους, ἴσως γὰρ αἱρετικόν ἐστιν, ἡ κοινωνία λυθῇ, περὶ τῆς καταβολῆς ἀλλήλους [21]) ἀσφαλίζονται [22]).

8. Etsi convenerit, ne intra certum tempus societas solvatur, ex justa causa solvitur. Quid enim si conditio, qua contracta fuerat, non exstiterit, aut injuriosus vel damnosus sit socius, aut re frui non liceat, propter quam societas fuit inita?

9. Si absenti meo socio renuntiavero, quaecunque donec resciverit acquisiero, communia sunt, sed damnum ad me solum spectat: socii autem lucrum ejus erit solius et damnum commune.

10. Quae ex propria accidunt negligentia, socius agnoscit, licet in aliis multis profuerit.

11. Aes alienum tempore societatis contractum ex communi solvitur. Quod si ante debiti solutionem, forte enim sub conditione debetur, societas solvatur, de solutione sibi invicem cavent.

διγ. ζ', posteriori διγ. η' ἐν τέλει adscribens. — Dig. h. t. dig. 7. 8. 9. — Harm. §. 9.

15) C verba τὴν κοιν. non habet.

16) R: δι' οὗ.

17) Dig. h. t. dig. 14. 15. — Harm. §. 16.

18) P: διγ. ιζ' θέ. β'. — Dig. h. t. dig. 17 §. 1. — Harm. §. 18.

19) P: διγ. κε'. — Dig. h. t. dig. 26. — Harm. §. 19.

20) C: κοινωνοῦ.

21) R: ἀμφότεροι ἐνέχονται.

22) P: διγ. κζ'. — Dig. h. t. dig. 27. — Harm. §. 20.

Digitized by Google

ιβ'. Ἐὰν χρήματα συνεισαγάγωμεν ἐπὶ κοινῇ πραγματείᾳ, καὶ ἀπόλωνται τὰ ἐμὰ, τῇ κοινότητι ἀπώλοντο [23]· οὐκ ἀπώλοντο γὰρ [24]), εἰ μὴ συνέστη ἡ κοινωνία. εἰ δὲ μετὰ τὸ ἀφορίσαι με καὶ μήπω συνεισαγαγεῖν ἀπώλοντο, μόνος ζημιοῦμαι [25]).

ιγ'. Ὁ κοινωνός μου ἐπὶ τῷ κοινῷ πράγματι καὶ τῇ τῆς κλοπῆς ἀγωγῇ καὶ τῇ τῆς κοινωνίας ἀγωγῇ [26]) ἐνέχεταί μοι, καὶ οὐκ ἀναιρεῖ τὴν ἑτέραν ἡ ἑτέρα [27]).

ιδ'. Τὰ τυχηρὰ ὁ κοινωνὸς οὐκ ἐπιγινώσκει. ὅθεν τὰ δοθέντα διατετιμημένα θρέμματα [28]), εἰ μὲν ὑπὸ λῃστῶν ἀφαιρεθῶσι, κοινὴ γίνεται ἡ ζημία· εἰ δὲ κλαπῶσι, μόνος ὁ ἐσχηκὼς αὐτὰ ζημιοῦται· χρεωστεῖ γὰρ ἀκριβεστάτην ἀσφάλειαν ὁ δεξάμενος διατετιμημένα [29]). καὶ ἁρμόζει ἡ περὶ κοινωνίας ἀγωγὴ, ἐὰν ἐπὶ κοινωνίᾳ [30]) ἐδόθησαν βόσκεσθαι, εἰ καὶ τὰ μάλιστα διατετιμημένα [31]).

12. Si pecuniam conferamus in communem negotiationem, et mei nummi pereant, communioni pereunt; non enim periissent, nisi societas contracta fuisset. Sed si postquam eos seposui sed necdum contuli, perierunt, meum solius damnum est.

13. Socius meus in re communi tum furti actione tum pro socio actione mihi tenetur, neque altera alteram tollit.

14. Fortuita socius non agnoscit. Unde si pecudes aestimatae a latronibus abactae fuerint, commune est damnum: si vero furto sint subreptae, is solus damnum fert, qui eas habuit: debet enim exactissimam custodiam, qui aestimatas accepit. Et competit pro socio actio, si pro societate pascendae sunt datae, etiamsi maxime aestimatae fuerint.

23) C: ἀπόλονται.
24) B: εἴγε οὐκ ἀπόλλυντο.
25) Dig. h. t. dig. 58 §. 1. — Harm. §. 21.
26) Deest in B.
27) P: διγ. με'. — Dig. h. t. dig. 45. — Harm. §. 22.
28) B: χρήματα.
29) B: —ον.
30) B: κοινωνίαν.
31) P: διγ. νβ' θέ. γ'. — Dig. h. t. dig. 52 §. 3. — Harm. §. 23.

ιε΄. Ἐὰν ὁ κοινωνὸς ἐπὶ κοινῇ ἀποδημήσας ἐμπορίᾳ περιέπεσε λησταῖς καὶ ἀπώλεσεν ἴδια πράγματα ἢ χρήματα, ἅτινα εἰ μὴ διὰ τὴν ἐμπορίαν οὐκ ἐλάμβανε, τὸ μέρος τῆς ζημίας ἐπιγινώσκει ὁ κοινωνὸς καὶ τῶν περὶ τὴν ἰατρείαν δαπανῶν. τὸ αὐτό ἐστι κἂν πλέων μετὰ τῆς πραγματείας ἐναυάγησε καὶ ἐζημιώθη, ὅτε χωρὶς θαλάσσης οὐκ εἰώθει ἡ πραγματεία φέρεσθαι [32]).

ιϛ΄. Ὁ εἷς τῶν κοινωνῶν ἀργυροπρατῶν οὐ κοινοποιεῖ τὰ ἔξωθεν τῆς τραπέζης αὐτῷ περιποιηθέντα [33]).

ιζ΄. Εἰ δὲ καὶ [34]) ἀδελφοὶ ἐπὶ κοινωνίᾳ τὰς τῶν γονέων οὐ διείλοντο κληρονομίας, οὐ κοινοποιοῦσι τὰ ἔξωθεν αὐτοῖς κτηθέντα [35]).

ιη΄. Ὁ κοινωνὸς ὑπερτιθεμένων τῶν ἄλλων ἐὰν ἀνανεώσῃ τὸν κοινὸν οἶκον, ἐπιλογὴν ἔχει ἢ τὰ δαπανηθέντα λαβεῖν εἴσω δ΄ μηνῶν μετὰ τὴν ἀνανέωσιν, καὶ ἔχει περὶ τὴν ἀπαίτησιν προνόμιον [36]), ἢ καὶ τὸν

15. Si socius ad communem profectus negotiationem in latrones inciderit et suas res vel pecuniam perdiderit, quas nisi ob negotiationem secum non tulisset, socius partem damni agnoscit atque expensarum in medicos factarum. Idem est, et si mari vectus cum mercibus naufragium passus sit et damnum fecerit, ubi merces nonnisi mari transportari solebant.

16. Unus ex sociis argentariis non communicat, quae extra mensam sibi acquirit.

17. Quod si fratres societatis causa parentum hereditates non diviserint, ea, quae extrinsecus sibi quaerunt, communia haud faciunt.

18. Si socius cessantibus aliis communes aedes instauravit, optionem habet, vel ut expensas cum usuris intra quatuor menses post instaurationem recipiat, gaudetque circa repetitionem privilegio, vel ut dominium

32) P: θέ. δ΄. — Dig. eod. §. 4. — Harm. §. 24.

33) P: θέ. ε΄. — Dig. eod. §. 5. — Harm. §. 25.

34) Deest in B.

35) Dig. eod. §. 6. — Harm. §. 26.

36) L addit: ἤτοι προτίμησιν.

οἶκον εἰς δεσποτείαν μετὰ τὴν τετράμηνον, ἢ μᾶλλον διὰ τῆς περὶ [37]) κοινωνίας ἀγωγῆς λαβεῖν τὸ διαφέρον· ἴσως γὰρ οὐ βούλεται σχεῖν [38]) τὸν οἶκον. διὰ τοῦτο δὲ τετραμήνῳ [39]) περιωρίσθη, ἐπειδὴ μετ' αὐτὴν [40]) ὁ νόμος τὴν δεσποτείαν δίδωσι τῷ ἀνανεώσαντι [41]).

ιθ'. Ὁ ἀποδημήσας διὰ κοινὴν ἐμπορίαν μόνας τὰς εἰς αὐτὴν γενομένας δαπάνας λογίζεται τῇ κοινότητι.

ΤΙΤΛΟΣ 'ΕΙΚΟΣΤΟΣ.

Περὶ λύσεως κοινωνίας καὶ ἀγωγῆς.

α'. Λύεται ἡ κοινωνία φθειρομένων τῶν προσώπων, ἢ τοῦ πράγματος, ἢ τῆς γνώμης, ἢ τῆς ἀγωγῆς. προσώπων μὲν, ἡνίκα καταδικασθῇ θανάτῳ ἢ ἐξορίᾳ καὶ δημεύσει εἷς τῶν κοινωνῶν, ἢ τελευτήσῃ κοινῷ θανάτῳ. φθείρεται δὲ τὸ πρᾶγμα, ὅταν ἢ παντελῶς οὐχ ὕπεστιν ἢ τὴν κατάστασιν ἐνήλλαξεν ἀνιερωθὲν ἢ δη-

aedium post quadrimestre spatium, vel potius per actionem pro socio id quod interest consequatur: forte enim domum habere non vult. Ideo autem quatuor mensibus [usura] circumscribitur, quia post illos lex dominium instauratori dat.

19. Qui ob communem negotiationem peregrinatur, solas impensas in eam factas societati imputat.

TITULUS VICESIMUS.

De dissolutione societatis et actione *).

1. Dissolvitur societas interitu personarum, aut rei, aut voluntatis, aut actionis. Personarum quidem, si unus sociorum plectatur morte aut exilio aut publicatione, aut communi fato moriatur. Res autem perit, sive omnino non supersit, sive conditionem mutaverit

37) B: περὶ τῆς.
38) B: ἔχειν.
39) R: τετράμηνον.
40) B: μετὰ ταύτην.
41) P: θέ. θ'. — Dig. eod. §. 10. — Harm. §. 27.
42) P: θέ. ιγ'. — Dig. eod. §. 15. — Harm. §. 28.
*) Num: actionis? Scilicet tractat hic titulus etiam περὶ λύσεως ἀγωγῆς, i. e. de transactione.

μευθέν. γνώμῃ δὲ λύεται, ὅταν ἀπαγορεύσωσιν, ἢ ἰδιαζόντως ἕκαστος ἑαυτῷ ἄρξηται πραγματεύεσθαι. ἀγωγῇ δὲ λύεται, ὅταν ἢ δι' ἐπερωτήσεως ἢ διὰ δικαστηρίου ἐναλλαγῇ ἡ αἰτία τῆς κοινωνίας· ὁ γὰρ ἐπὶ διαλύσει τῆς κοινωνίας ἐνάγων ἀπαγορεύει αὐτήν [1]).

β'. Ἐὰν ἐπὶ πράσει ἢ μισθώσει συστῇ κοινωνία, καὶ ἡ μετὰ θάνατον τοῦ ἑνὸς γενομένη ζημία καὶ τὸ κέρδος κοινόν ἐστιν [2]).

γ'. Ὁ μείζων τῶν κε' ἐνιαυτῶν εἴτε διαλύσηται πρός τινα, εἴτε τὰ χρεωστούμενα αὐτῷ δωρήσηται δίχα τινὸς αἱρέσεως, οὐ δύναται μετὰ ταῦτα λέγειν, ὅτι ἐλπίδι τοῦ μέλλειν σε κληρονομεῖν διελυσάμην ἢ ἐδωρησάμην [3]).

δ'. Περὶ μιᾶς αἰτίας τὶς [4]) *ἐνάγων καὶ διαλυόμενος, εἰ καὶ ῥητῶς ἐπαγάγῃ μηδὲν πλέον ἀπαιτεῖν, καὶ μηδὲ προσθήσῃ τὸ ταύτης ἕνεκεν τῆς αἰτίας, ὅμως ἐρ-*

consecrata vel publicata. Voluntate solvitur, quum renuntiaverint, aut eorum quisque separatim negotiari coeperit. Actione denique dissolvitur, si per stipulationem aut judicium mutata sit societatis causa: namque agens de societatis dissolutione eidem renuntiat.

2. Si societas in venditione aut locatione sit contracta, tum damnum post unius mortem eveniens tum lucrum commune est.

3. Major XXV annis sive cum quo transigat sive debita ei remittat sine ulla conditione, non potest postmodo dicere, se sperantem ei heredem fore transegisse aut donasse.

4. Etiamsi quis de una aliqua causa agens atque transigens diserte expresserit, nihil amplius se petiturum, neque addiderit, hac ex causa, tamen salvas habet

1) P: *διατ. ξε'. ἰνστιτ. βι. τί. εβ'* (l. *βι. γ' τί. κε'*). — Dig. XVII, 2. dig. 63 §. 10. dig. 64. 65 pr. — Harm. III, 11.

2) P: *θέ. β'.* — Dig. eod. dig. 65 §. 2. — Harm. III, 10, 29.

3) B in fine addit: *σοι.* — P: *βι. β' τοῦ κώδ. τί. . . .* — Cod. II, 4, 25. — Harm. I, 10, 17.

4) B: *Ὁ περὶ μιᾶς αἰτίας ἐνάγων.*

ῥωμένας ἔχει τὰς ἐξ ἄλλων αἰτιῶν ἁρμοζούσας αὐτῷ κατ' ἐκείνου, πρὸς ὃν διελύσατο, ἀγωγάς. τί γάρ, ὅτι περὶ παρακαταθήκης διελύσατο, εἶχε [5]) δὲ περὶ δανείου ἀγωγήν [6]);

ΤΙΤΛΟΣ ΕἸΚΟΣΤΟΣ ΠΡΩΤΟΣ.

Περὶ διαθήκης αὐτεξουσίων.

α'. Διαθήκη ἐστὶ δικαία βούλησις ὧν τις θέλει μετὰ θάνατον αὐτοῦ γενέσθαι [1]).

β'. Ὁ διατιθέμενος ὀφείλει τὸν νοῦν, οὐ μὴν τὸ σῶμα ἐῤῥῶσθαι [2]).

γ'. Ὁ ἄῤῥην πληρώσας τὰ ιδ' ἔτη διατίθεται, ἡ δὲ θηλεία τὰ ιβ' [3]).

δ'. Αἱ διαθῆκαι ἐκ τριῶν νομίμων τὴν σύστασιν ἔχουσιν, ἐκ τοῦ πολιτικοῦ καὶ τῶν διατάξεων καὶ τοῦ πραίτορος. ἐκ μὲν γὰρ τοῦ πολιτικοῦ κατάγεται τὸ παρόντων τῶν [4]) μαρτύρων μιᾷ ὑφῇ συναπτῶς τὴν δια-

actiones ex aliis ipsi causis competentes adversus eum, cum quo transegit. Quid enim, si de deposito transegit, mutui autem condictionem habuit?

TITULUS VICESIMUS PRIMUS.

De testamento hominum sui juris.

1. Testamentum est justa voluntas eorum, quae quis vult post mortem suam fieri.

2. Testator mente, non corpore valere debet.

3. Masculus impletis annis XIV testatur, femina XII.

4. Testamenta ex ternis juribus formam acceperunt, ex jure civili, ex constitutionibus et a praetore. Ex civili enim deducitur, quod praesentibus testibus uno

5) B: ἔχει.

6) P: διατ. λα'. — Cod. eod. const. 31. — Harm. I, 10, 18.

1) Dig. XXVIII, 1, 1. — Harm. V, 1, 1.

2) P: βι. κη' τί. α' διγ. β'. — Dig. eod. dig. 2. — Harm. §. 2.

3) Dig. h. t. dig. 5. — Harm. §. 3.

4) Deest in B.

θήκην πληροῦσθαι· ἐκ δὲ τῶν διατάξεων αἱ τοῦ διατιθεμένου καὶ τῶν μαρτύρων ὑπογραφαί· ἐκ δὲ τοῦ πραίτορος αἱ σφραγίδες καὶ ὁ τῶν μαρτύρων ἀριθμός. πᾶσα δὲ ἡ τοιαύτη παραφυλακὴ διὰ τὸ κακουργίας πάσης ἀπηλλάχθαι τὴν τῶν διαθηκῶν ποίησιν καὶ παντὸς αὐτὰς καθαριεύειν [5]) δόλου προστέθειται. ὥστε τὸν διατιθέμενον οἰκείᾳ χειρὶ τὸ [6]) τοῦ κληρονόμου ὄνομα δηλῶσαι γράφοντα, ὅτι τόνδε ἐνεστησάμην κληρονόμον. τοῦτο δὲ αὐτοῦ μὴ ποιήσαντος ἀνάγκη τοῖς μάρτυσι λέγεσθαι τὸ τοῦ κληρονόμου ὄνομα [7]).

ε'. Ἐπειδὴ δὲ εἰρήκαμεν τοὺς μάρτυρας χρῆναι σφραγίδας ἐπιτιθέναι, ὀφείλεις εἰδέναι, ὅτι ἑνὶ δακτυλίῳ δύνανται σφραγίζειν τὴν διαθήκην.

ς'. Καὶ ἐν νυκτὶ σφραγίζεται καὶ ὑπογράφεται διαθήκη [8]).

ζ'. Ὁ γραφεὺς τῆς διαθήκης καλῶς ἐν αὐτῇ μαρτυρεῖ [9]).

contextu continuo testamentum absolvatur: ex constitutionibus testatoris ac testium subscriptiones: a praetore sigilla et numerus testium. Universae autem huic observationi, ut testamentorum confectio omni malitia sit immunis et ab omni dolo pura, additum est, ut testator sua manu heredis nomen exprimat scribens, sese illum instituere heredem. Eo hoc non faciente, necesse est coram testibus nomen heredis nuncupari.

5. Quum autem diximus, testibus sigilla esse apponenda, scire debes, quod eodem annulo testamentum obsignare possunt.

6. Et noctu obsignatur ac subscribitur testamentum.

7. Scriptor testamenti in eodem recte testis est.

5) L: καθαρεύειν.

6) Deest in C.

7) P: Ἰνστιτ β' τί. . . — Hoc, et quod sequitur caput, ad verbum ex Theophilo II, 10 §. 3. 4. 5 exscriptum est. Caeterum verba: πᾶσα δὲ κ. τ. λ. esse ἀνακόλουθα, manifestum est: ea tamen propter unanimem omnium Codicum consensum retinenda videntur, rejecta emendatione: πάσῃ δὲ τῇ τοιαύτῃ παραφυλακῇ, quam cum aliis Reitzius proposuit. — Harm. §. 4.

8) Dig. h. t. dig. 22 §. 6. — Harm. §. 5.

9) Dig. h. t. dig. 27. — Harm. §. 8.

η'. Ὁ ἐν ἀσθενείᾳ σώματος παραφρονήσας οὐ διατίθεται ἐν τῇ παραφροσύνῃ, ἐν [10]) τοῖς διαλείμμασι δέ [11]).

θ'. Ἄδειαν ἐχέτω ὁ τυφλὸς εἴτε ἐκ γεννητῆς [12]) εἴτε ἀπὸ νόσου ἄγραφον [13]) διαθήκην ποιεῖν, ζ' ἢ ε' μάρτυρας συγκαλῶν καὶ λέγων τὸν κληρονόμον μετὰ σημείων διὰ τὸ μὴ πλανηθῆναι [14]).

ι'. Ἐὰν διάθηται ὑπεξούσιος ἢ ἄνηβος ἢ δοῦλος, οὐκ ἔῤῥωται, κἂν ὁ μὲν αὐτεξούσιος ἀποθάνῃ, ὁ δὲ ἔφηβος, ὁ δὲ ἐλεύθερος [15]).

ια'. Εἰ καὶ κοινὰ ἔχουσι τὰ πράγματα οἱ ἀδελφοὶ, ὅμως οὐδεὶς αὐτῶν κωλύεται διατιθέναι [16]) εἰς

8. Qui in adversa corporis valetudine furit, non testatur in furore, sed in lucidis intervallis.

9. Coecus sive a partu sive a morbo testamenti per nuncupationem faciendi licentiam habeat, septem vel quinque testes convocans et nuncupans heredem cum indiciis, ne erretur.

10. Si filiusfamilias aut impubes aut servus testamentum condiderit, non valet, licet ille sui juris factus, hic pubes, iste liber moriatur.

11. Licet fratres bona habuerint communia, nullus tamen eorum prohibetur testari in cujus velit gratiam: neque impediuntur eo, quod res sint indivisae.

10) R: εἰ μὴ ἐν, omissa in fine particula δέ. Bodl. 3399: ἐν τοῖς διαλείμμασι δὲ καλῶς διατίθεται. ἐὰν δὲ τελείως μαίνηται, οὐδὲ κωδικέλλους ποιεῖ. ὡς βι. ϛ' τί. λϛ' διατ. ε' τοῦ κώδ.

11) Dig. h. t. dig. 17. — Harm. §. 10.

12) B: γενετῆς.

13) B habet: ἔγγραφον. In margine laudatur Leonis Nov. 69. Male.

14) Cod. VI, 22, 8. Ibi tamen utique septem testium praesentia exigitur. Vulgo tradunt, Leonis demum Novella, scilicet Nov. 41 et 43, introductum fuisse, ut quinque testes sufficerent: verum Enantiophanes in Basil. Fabrot. VI p. 27 eum numerum consuetudine receptum esse auctor est. Unde non est mirandum, quod in hoc Prochiro etiam infra §. 15 quinque testes sufficere dicuntur. — Harm. §. 20.

15) Dig. h. t. dig. 19. — Harm. §. 23.

16) B: διατίθεσθαι.

ὃν [17]) βούλεται [18])· οὐδὲ ἐμποδίζονται διὰ τὸ ἀδιαίρετα εἶναι τὰ πράγματα [19]).

ιβ'. Εἴ τις γράμματα ἐπιστάμενος μεταξὺ τῶν ἑαυτοῦ παίδων βούλοιτο ποιήσασθαι διατύπωσιν, πρῶτον μὲν αὐτῆς [20]) προγράφειν τὸν χρόνον, εἶτα καὶ τὰ τῶν παίδων ὀνόματα οἰκείᾳ χειρὶ, καὶ πρός γε τοὺς οὐγκιασμοὺς, εἰς οὓς γράφει κληρονόμους αὐτοὺς, μὴ τοῖς συμβόλοις τὸν ἀριθμὸν [21]) σημαινομένοις [22]), ἀλλὰ δι' ὅλων γραμμάτων δηλουμένους, ὥστε πανταχόθεν σαφεῖς τε καὶ ἀναμφισβήτους καθεστάναι. εἰ δὲ καὶ πραγμάτων βούλοιτο ποιήσασθαι διαίρεσιν, ἢ τισι πράγμασι ῥητοῖς, ἢ πάσας ἤ τινας τῶν ἐνστάσεων περιστῆσαι, καὶ τὰ [23]) τούτων ἐγγραφέτω γνωρίσματα, ὥστε τοῖς αὐτοῖς [24]) γράμμασι πάντα δηλούμενα μηδεμίαν ἔτι φιλονεικίαν [25]) τοῖς παισὶ καταλιμπάνειν [26]). εἰ μέντοιγε ἢ τῇ γαμετῇ ἢ ἐξωτικοῖς τισι προσώποις βούλεται καταλιπεῖν λεγάτα ἢ φιδικόμισσα ἢ ἐλευθερίας [27]), καὶ ταῦτα οἰκείᾳ γραφόμενα χειρὶ, λεγόμενά τε παρὰ τῶν

12. Si quis literarum peritus inter liberos suos testamentum velit condere, primo quidem ei tempus praescribat, deinde et nomina liberorum sua ipsius manu, et praeterea unciarum partitiones, pro quibus eos scribit heredes, non notis numerum significantibus, sed integris literis manifestatas, ut undique apertae et indubitabiles sint. Et si rerum quoque divisionem facere velit, aut certis quibusdam rebus, aut omnes aut nonnullas institutionum definire, etiam harum signa adscribat, ut iisdem omnia literis expressa nullum amplius liberis litigium relinquant. Quodsi tamen aut uxori aut personis extraneis legata vel fideicommissa vel libertates relinquere volet, et haec propria manu scripta atque

17) R: ὅ.

18) C: βούλονται. Bodlej. 3399: διατίθεσθαι εἰς ἃ βούλονται καὶ ὃν βούλονται γράφειν κληρονόμον.

19) Cod. l. c. const. 1. — Harm. §. 24.

20) C: αὐτούς. R: αὐτοῖς.

21) B: τῶν ἀριθμῶν.

22) B: σημαινουμένους.

23) Deest in B.

24) R: αὐτοῦ.

25) C: ἐπὶ φιλονεικίᾳ. Bodlej. 3399: πράγμασι pro γράμμασι.

26) R: καταλιμπάνοι.

27) L: ἢ καὶ ἐλ. R: ἐλεύθερα.

διατιθεμένων ἐπὶ τῶν μαρτύρων, ὡς ἅπαντα ἐφεξῆς τὰ ἐν τῇ διατυπώσει κείμενα αὐτοὶ καὶ [28]) ἔγραψαν καὶ βούλονται κρατεῖν, ἔστω ἰσχυρὰ, μηδὲν ἐλαττούμενα ἐκ τοῦ δοκεῖν ἐν χάρτῃ γεγράφθαι τὴν λοιπὴν παρατήρησιν τῶν διαθηκῶν μὴ δεξάμενα· ἀλλὰ τοῦτο μόνον διαταττέτω τὸ τὴν αὐτοῦ δεξιάν τε καὶ γλῶσσαν ἔχειν τὴν πᾶσαν ἰσχὺν τῷ χάρτῃ παρεχομένην. καὶ εἴπερ μέχρι τελευτῆς μείνοι τούτῳ τῷ σχήματι [29]), οὐδεὶς ὕστερον παράξει [30]) μαρτυρίας [31]) ὡς βουληθέντι [32]) τυχὸν τὴν τοιαύτην γνώμην ἀμεῖψαι ἢ ἐναλλάξαι ἤ τι τοιοῦτον [33]) ποιῆσαι, ὧγε [34]) ἐξῆν διαῤῥῆξαι τὸ γενόμενον καὶ ἑτέραν ποιήσασθαι βούλησιν δηλοῦσαν τὴν τελευταίαν αὐτοῦ γνώμην, ἣν προσήκει κρατεῖν. τοῦτο γὰρ ἐφίεμεν αὐτῷ πράττειν αὐτὸ τοῦτο ῥητῶς ἐπισημαινομένῳ ἐπὶ παρουσίᾳ μαρτύρων ζ' ἢ καὶ ε', ὡς πεποίηται τὴν τοιαύτην βούλησιν, οὐ μὴν κρατεῖν αὐτὴν ἔτι βούλεται, ἀλλ' ἑτέραν ποιήσασθαι. καὶ ταῦτα μὲν ἢ ἐν τελείᾳ διαθήκῃ ποιείτω πάντα τὰ τῶν διαθηκῶν

a testatoribus coram testibus declarata, quod omnia in dispositione consequenter posita et ipsi scripserint et rata esse velint, valida sunto: neque quidquam infirmetur inde, quod videantur in charta scripta, quae reliquam testamentorum observationem non complectuntur: verum id solum statuat, dextram suam ac linguam omnem vim chartae tribuisse. Et si quidem usque ad mortem maneat hac forma, nemo postea testimonia proferat, ac si forte illam ille sententiam mutare aut variare aut tale quid facere voluisset, cui utique factum testamentum corrumpere aliudque condere licebat, quo supremam declararet voluntatem, quam oportet valere. Hoc enim permittimus ei facere, id ipsum diserte significanti coram septem vel etiam quinque testibus, quod tale quidem testamentum fecerit, nec tamen obtinere jam velit, sed aliud facere. Et haec quidem vel in perfecto faciat testamento, omnia testamentorum notas

28) Deest in R.
29) B: τοῦτο τὸ σχῆμα.
30) B: παρέξει. Bodl. 3399: τάξει.
31) R: μαρτυρίαν.
32) R: βουληθέντος.
33) R: τοῦτο.
34) C: ὥσγε. B: ὥστε.

ἐχούσῃ σύμβολα, ἢ ἐν ἀγράφῳ[35]) τελείᾳ βουλήσει, ὥστε ἐπ' ἐγγράφῳ βουλήσει[36]) ἢ ἀγράφῳ δοκεῖν αὐτὸν τελευτῆσαι, τῶν προτέρων ἀκύρων[37]) ἐκ τῆς δευτέρας[38]) αὐτοῦ κατὰ τὴν τελείαν διαθήκην ἢ βούλησιν διατυπώσεως γινομένων[39]).

ιγ'. Ἡ προγενεστέρα διαθήκη ἀνατρέπεται ὑπὸ τῆς μεταγενεστέρας τελείας οὔσης, κἂν ἐστιν ἡ πρώτη ἔγγραφος[40]).

ιδ'. Ἐὰν ἀποδειχθῇ βουληθέντα τὸν διατιθέμενον πλείονας εἰπεῖν κληρονόμους φιμωθῆναι, οὐδὲ οἱ παρ' αὐτοῦ λεχθέντες κληρονομοῦσιν[41]).

ιε'. Ἐὰν μέντοιγε ὁ διατιθέμενος μὴ βούληται γνῶναι τὰ γεγραμμένα τοὺς μάρτυρας, εἰληθεῖσαν[42]) ἕως τῶν γεγραμμένων ἢ καὶ σφραγισθεῖσαν ὑπ' αὐτοῦ προσφερέτω τοῖς μάρτυσιν, ἵνα ὑπογράφωσι, καὶ λεγέτω τοῖς μάρτυσιν ἰδίαν εἶναι τὴν διαθήκην· λοιπὸν δὲ ἐν ἑνὶ καιρῷ ὑπογραφέτωσαν καὶ σφραγιζέτωσαν

habente, vel per ultimam sine scriptura voluntatem, ita ut cum scripto aut non scripto testamento mori videatur, prioribus ex secunda ejus in perfecto testamento vel voluntate dispositione irritis factis.

13. Testamentum prius posteriori perfecto rumpitur, licet prius sit scriptum.

14. Si probatum fuerit, testatorem, quum plures vellet nuncupare heredes, obmutuisse, neque qui ab eo nuncupati sunt heredes erunt.

15. Si vero testator noluerit testes scire, quae scripserit, testamentum convolutum, quousque scripta pertinent, aut etiam obsignatum ab ipso, testibus exhibeat, ut subscribant, dicatque testibus, suum esse testamentum. Tum uno eodemque tempore subscribant

35) C et L: ἐγγράφῳ. R: ἐν ἐγγράφῳ.

36) In C et R et Bodl. 3399 verba ὥστε — βουλήσει desunt.

37) Deest in R.

38) Bodl. 3399: ὑστέρας.

39) R: Νεαρὰ ρζ'. — Nov. 107 cap. 1. 2. — Harm. §. 25. 26.

40) Instit. II, 17 §. 2. — Harm. §. 39.

41) Dig. XXVIII, 1, 25. — Harm. §. 33.

42) C: εἰληφθεῖσαν.

αὐτὴν, καὶ κρατείτω ἰσχυρῶς. οὐ μόνον δὲ ἑπτὰ[43] *ἀλλὰ καὶ πέντε παραλαμβανόμενοι μάρτυρες ἔν τε ἐγγράφῳ πάσῃ καὶ ἀγράφῳ διαθήκῃ βεβαίαν ταύτην παριστῶσιν*[44].

ιϛ'. Ὁ μέντοιγε ἐν πολέμῳ πληγεὶς καὶ ὁ ἐν ὁδῷ περιπατῶν καὶ πρὸς τὸ θανεῖν ἐγγίσας, ὁ τοιοῦτος οὐ μόνον ἐπὶ τριῶν[45] *διαθήκην δύναται ποιεῖν, ἀλλὰ καὶ δύο μόνα παρευρισκόμενα*[46] *πρόσωπα διὰ τὴν συμβᾶσαν περίστασιν δύνανται τὴν ἐκείνου διαθήκην βεβαίαν παριστάναι*[47].

atque obsignent, ac valide ratum sit. Nec septem tantum sed et quinque testes adhibiti tum in scripto tum in nuncupativo quolibet testamento firmum id reddunt.

16. In bello tamen vulneratus aut in via ambulans et mori periclitans, non modo coram tribus testamentum facere potest, sed etiam duae tantum personae, quae forte adsunt, propter accidentem circumstantiam illius testamentum validum possunt reddere.

43) Deest in C.

44) P: *βι. ϛ' τοῦ κώδ. τί. ιγ'* (l. *κγ'*) *διατ. κα'.* — Cod. VI, 23, 21. — Harm. §. 35. — De quinque testibus vide supra not. 14 et mox not. 47.

45) In Cod. Paris. gr. 1357 P. Faber ad hunc locum haec adscripsit: »Quod erat a Nov. Leonis 41 et 43 ad finem circa eos, qui in itinere decedunt [introductum?]. Sed cum ea lex de fortuitis neque convocatis testibus loquatur, et quoniam *παρευρισκομ* statim, et paulo ante *τῶν ἐν πολέμῳ πληγ.* mentio fit, vereor ut illud *ἐν ὁδῷ* ex *ἐν ὀστίκῳ* depravatum sit.«

46) B: *παρευρημένα.*

47) Harm. §. 36. — Hujus capitis fontem Reitzius sibi visus est reperisse in Ecloga Leonis et Constantini tit. V §. 7 (in editione Leunclavii tit. XVI §. 13. JGR II pag. 110). Nec refragor: Leo tamen Nov. 41, quaecunque hic de quinque et tribus testibus dicta sunt, omnino Basilio tribuere videtur. Praeterea in Cod. Paris. gr. 1367 extant fragmenta ex Basil. XXXV, 3, in cujus tituli fine idem caput legitur adscripto hoc scholio: *ὅρα τοῦ προχείρου,* i. e. *nota hoc esse ex Prochiro in Basilica relatum.*

ΤΙΤΛΟΣ ΈΙΚΟΣΤΟΣ ΔΕΥΤΕΡΟΣ.

Περὶ διαθήκης ὑπεξουσίων.

α΄. Τὸ πεκούλιον ἐν τοῖς ὑπεξουσίοις ὁρᾶται. ὅθεν τῶν πεκουλίων τὰ μέν ἐστιν ἰδιόκτητα [1]), τὰ δὲ παγανικά. καὶ ἰδιόκτητα μέν ἐστιν, ὅσα ἰδικῶς τις ἐξ ἰδίου ἐπιτηδεύματος ἢ στρατείας ἢ βαθμοῦ τοῦ οἱουδήποτε ἢ κλήρου κέκτηται [2]). παγανικὰ δὲ, ἅπερ παρὰ τῶν γονέων αὐτοῖς ὑπηρεσίας λόγῳ καὶ χρείας ἐδόθησαν ἢ καὶ ἐκ τῶν δοθέντων ἐπεκτήθησαν [3]).

β΄. Πολλαὶ δὲ διαφοραὶ παγανικοῦ καὶ ἰδιοκτήτου πεκουλίου. καὶ πρώτη μὲν αὕτη, ὅτι εἰς μὲν τὸ ἰδιόκτητον πεκούλιον ὁ ὑπεξούσιος διατίθεται, εἰς δὲ τὸ παγανικὸν οὐ δύναται [4]).

γ΄. Δευτέρα διαφορὰ, ὅτι [5]) ἀγανακτήσας ὁ πα-

TITULUS VICESIMUS SECUNDUS.

De testamento hominum alieni juris.

1. Peculium in iis spectatur, qui in potestate sunt. Peculiorum autem quaedam sunt castrensia vel quasi, quaedam pagana. Et castrensia quidem sunt vel quasi, quaecunque quis specialiter ex sua professione aut militia aut qualicunque gradu aut hereditate acquisivit. Pagana autem, quae iis a parentibus ministerii atque usus causa data aut ex datis acquisita sunt.

2. Multae autem sunt differentiae inter paganum et castrense vel quasi peculium. Et prima quidem haec est, quod de peculio castrensi vel quasi filius testatur, de pagano autem non potest.

3. Secunda differentia est, quod indignatus filio

1) B: καυστρίσια ἤτοι ἰδιόκτητα.
2) L: ἐκτήσατο.
3) Ἰνστιτ. β΄ τί. ιβ΄. — Theophil. II, 12 pr. priorum quinque capitum fons esse videtur, non, uti Reitzius ad Harm. V, 2, 1 arbitratur, scholion, quod apud Labbaeum Obss. ad Synopsin p. 182 — 183 legitur. Id enim ipsum ex hoc nostro potius loco haustum esse crediderim.
4) Harm. §. 2.
5) Deest in B.

τὴρ κατὰ τοῦ ὑπεξουσίου τὸ μὲν παγανικὸν ἀφαιρεῖσθαι δύναται πεκούλιον, τὸ δὲ ἰδιόκτητον οὐκ ἔτι.

δ'. Τρίτη διαφορά· ἐὰν πολλοῖς ἐποφείλων τὶς ὑποστῇ διάπρασιν [6]) ὑπὸ τῶν ἑαυτοῦ δανειστῶν, τὸ μὲν παγανικὸν τοῦ παιδὸς συνδιαπιπράσκεται πεκούλιον, τὸ δὲ ἰδιόκτητον οὐδαμῶς.

ε'. Ἔστι καὶ τετάρτη διαφορά· ἐὰν πολλῶν ὄντων τῶν παίδων πατὴρ τελευτήσῃ, συμβῇ δὲ ἕνα ἐξ αὐτῶν παγανικὸν ἔχειν πεκούλιον καὶ ἰδιόκτητον, τὸ μὲν παγανικὸν κοινὸν ἔσται πάντων τῶν ποτε παίδων ὑπεξουσίων, τὸ δὲ ἰδιόκτητον μόνου τοῦ κτησαμένου.

ϛ'. Τὰ ἀπὸ μακρᾶς ἀποδημίας καὶ χειμερινῆς καὶ καυσώδους ὁδοιπορίας, τουτέστι τὰ ἀπὸ ταξειδίων ἐπιγινόμενα πεκούλια τοῖς ὑπεξουσίοις ἰδιόκτητά ἐστι, καὶ δύνανται ἐν τούτοις διατίθεσθαι [7]). εἰ γὰρ κατέβαλον ὑπὲρ αὐτῶν οἱ γονεῖς αὐτῶν τι, τότε ὀφειλέται εἰσὶν οἱ ὑπεξούσιοι τὸ ἱκανὸν ἀντιδοῦναι αὐτοῖς, καὶ

pater paganum quidem peculium adimere potest, non item castrense vel quasi.

4. Tertia differentia: si quis multis obaeratus venditionem a creditoribus suis patiatur, paganum filii peculium simul venditur, at castrense vel quasi nequaquam.

5. Est etiam quarta differentia: si multos habens liberos pater moriatur, eveniatque ut unus eorum habeat paganum peculium et castrense vel quasi, paganum commune erit omnium quondam filiorumfamilias, castrense vel quasi solius, qui acquisivit.

6. Quae ex longa peregrinatione hibernoque et aestivo itinere, id est expeditionibus, filiisfamilias acquisita sunt peculia, castrensia sunt, atque de iis testari possunt. Si vero parentes eorum aliquid pro his exsolverint, debent filiifamilias illis satisfacere, et de re-

6) R: ἐποφείλοντος ἐπὶ τῇ διαπράσει.

7) Bodlej. 3399 addit: ἕως τοῦ ὀκταουγκίου, (τὸ γὰρ τεσσαρούγκιον ἀνιοῦσι καὶ κατιοῦσιν ἀποκληροῦνται,) μήτε τὴν μέμψιν τῆς διαθήκης εὐλαβούμενοι.

εἰς τὸ λεῖπον [8]) διατίθεσθαι. ὁμοίως δὲ καὶ τὰ ἀπὸ συνεδρίας καὶ συνηγορίας καὶ πάσης ἀξίας καὶ παντὸς ἐπιτηδεύματος αὐτοῖς ἐπικτηθέντα ἰδιόκτητά ἐστιν [9]).

ΤΙΤΛΟΣ ΕΙΚΟΣΤΟΣ ΤΡΙΤΟΣ.

Περὶ διαθήκης ἀπελευθέρων.

α'. Ἡ συγγένεια ὄνομά ἐστι γενικόν· διαιρεῖται δὲ εἰς ἀνιόντας, εἰς κατιόντας καὶ εἰς τοὺς ἐκ πλαγίου. ἀλλ' αὗται αἱ τρεῖς συγγένειαι ἐπὶ εὐγενῶν σκοποῦνται, ἐπὶ δὲ τῶν ἀπελευθέρων ἀνιόντας οὐκ ἴσασιν οἱ ἀρχαῖοι· πῶς γὰρ ὁπότε ἐν δουλείᾳ ἐτέχθησαν; οὔτε τοὺς ἐκ πλαγίου. ὁ γὰρ μὴ ἔχων ἀνιόντας οὔτε τοὺς ἐκ πλαγίου κέκτηται· ἐξ ἐκείνων γὰρ οὗτοι [1]) καταλαμβάνονται. μόνην γὰρ ἔχουσι [2]) τὴν τῶν κατιόντων συγγένειαν, τουτέστι τῶν συλληφθέντων καὶ τεχθέντων αὐτοῖς παίδων καὶ ἐγγόνων καὶ ἐφεξῆς [3]).

liquo testari. Similiter quae ex assessione et advocatione, nec non omni dignitate omnique professione sibi acquisierunt, quasi castrensia sunt.

TITULUS VICESIMUS TERTIUS.

De testamento libertorum.

1. Cognatio nomen est generale: dividitur autem in ascendentes, descendentes et collaterales. Sed ternae hae cognationes in ingenuis spectantur, in libertis autem antiqui non agnoverunt ascendentes: qui enim? quum in servitute sint nati; neque etiam collaterales. Qui enim ascendentes non habet, neque collaterales habet: quoniam hi ex illis deprehenduntur. Solam scilicet habent descendentium cognationem, id est conceptorum et natorum sibi liberorum et nepotum ac deinceps.

8) B: λοιπόν, quod probant Cujacius, Salmasius, et Reitzius.

9) Harm. §. 3. — Cf. Witte in Rhein. Mus. f. Jurisprud. III p. 67.

1) L: οὔτε.

2) C non habet verbum ἔχουσι.

3) B: τῶν ἐφεξῆς. — P: Ἰνστιτ. β' τί. ιγ' (?). — Theophilo (Inst. III, 7 pr. — §. 3)

β'. Ὅθεν ἐὰν ἀπελεύθερος ἀδιάθετος τελευτήσῃ, εἰ μὲν ὕπεστιν αὐτῷ παῖς συλληφθεὶς ἢ μετὰ τὴν ἐλευθερίαν ἢ πρὸ τῆς ἐλευθερίας, ἢ [4]) καὶ συνελευθερωθεὶς αὐτῷ ἢ προελευθερωθεὶς ἢ καὶ μετὰ τὸ ἐλευθερωθῆναι αὐτὸν ἐλευθερωθεὶς, οὗτος [5]) κληθήσεται ἐπὶ τὸν κλῆρον· τούτου δὲ μὴ ὑπόντος, τὸν πάτρωνα ὁ νόμος ἐπενόησεν. εἰ δὲ διαθέμενος μηδὲν καταλιπὼν [6]) τῷ πάτρωνι ἄπαις ὢν, ἢ ἔχων παῖδας καὶ [7]) ἐγγόνους, ἀποκλήρους δὲ αὐτοὺς [8]) ποιήσας, ἐτελεύτησεν, καὶ μὴ δυνηθῶσιν οὗτοι οἱ παῖδες ἀνατρέψαι τὴν διαθήκην, τότε ὁ πάτρων τὸ τρίτον μέρος λήψεται, ὥστε ληγάτον ἐκ τούτου μὴ ἀναγκάζεσθαι αὐτὸν καταβαλεῖν.

γ'. Οὐ μόνον δὲ ὁ πάτρων καὶ ἡ πατρώνισσα καὶ οἱ τούτων κατιόντες κατὰ νόμους καλοῦνται ἐπὶ τὴν τοῦ ἀπελευθέρου κατὰ τὰ εἰρημένα κληρονομίαν, ἀλλὰ καὶ οἱ ἐκ πλαγίου αὐτῶν μέχρι ε' βαθμοῦ.

δ'. Εἰ δὲ τοῦ αὐτοῦ πάτρωνος ἢ τῆς πατρωνίσσης ἢ δύο πατρώνων ἢ πατρωνισσῶν ἢ καὶ πλειόνων ὕπεισι

2. Unde si libertus intestatus moriatur, siquidem ei subest filius sive post libertatem sive ante libertatem conceptus, vel cum ipso manumissus vel antea manumissus vel etiam post ipsum manumissus, hic ad hereditatem vocabitur. Illo autem non extante, lex patronum excogitavit. Quodsi testatus patrono nihil reliquerit nec liberos habeat, aut liberos vel nepotes habens eos exheredaverit, et sic moriatur, neque hi liberi testamentum rescindere possint, tunc patronus trientem accipiet, ita ut ex eo ne legatum quidem praestare cogatur.

3. Non solum autem patronus et patrona eorumque descendentes secundum leges vocantur ad liberti, prout dictum est, hereditatem, sed et eorum collaterales ad quintum usque gradum.

4. Quodsi ejusdem patroni vel patronae duorumve patronorum vel patronarum aut plurium quoque liberi

totus hic titulus deberi videtur. — Apud Harmenopulum est lib. V tit. 3 §. 1 — 4.

4) C: ὁ.

5) B: ὁ πάτρων.

6) B: κατέλιπε.

7) B: ἢ καί.

8) Deest in B.

παῖδες, ὁ ἐγγύτερος τῷ βαθμῷ εἰς τὰ τοῦ ἀπελευθέρου κληθήσεται πράγματα. εἰ δὲ ἑνὸς πάτρωνος εἰσὶ δύο παῖδες, ἄλλου δὲ τρεῖς, εἰς πέντε μερισθήσεται ἡ κληρονομία· τὸ αὐτὸ καὶ ἐπὶ τῶν ἐκ πλαγίου.

ΤΙΤΛΟΣ ΈΙΚΟΣΤΟΣ ΤΕΤΑΡΤΟΣ.

Περὶ διαθήκης [1]) ἐπισκόπων καὶ μοναχῶν.

α΄. Ὅσα ἔσχεν ὁ ἐπίσκοπος πρὸ τῆς ἐπισκοπῆς, δωρεῖται καὶ ἐκποιεῖται ὡς θέλει, οὐ μὴν ἀλλὰ καὶ διατίθεται εἰς αὐτά. ὅσα δὲ ἐκτήσατο μετὰ τὴν ἐπισκοπὴν, τῇ ἐκκλησίᾳ αὐτοῦ διαφέρει, καὶ οὐδὲ διατίθεται εἰς αὐτὰ, εἰ μὴ ἄρα ἀπὸ γονέων ἢ θείων ἢ ἀδελφῶν αὐτοῦ εἰς αὐτὸν περιῆλθον [2]).

β΄. Ὁ μέλλων εἰσιέναι ἐν μοναστηρίῳ διατιθέσθω τὰ καθ' ἑαυτὸν πρὸ τῆς εἰσόδου αὐτοῦ, ἐπεὶ προσκυροῦται τῷ μοναστηρίῳ πάντα τὰ [3]) αὐτοῦ, κἂν μὴ

extent, proximus gradu in bona liberti vocabitur. Et si unius patroni duo sint liberi, alterius tres, in quinque partes dividetur hereditas: idemque in collateralibus obtinet.

TITULUS VICESIMUS QUARTUS.

De testamento episcoporum et monachorum.

1. Quaecunque habuit episcopus ante episcopatum, donare et alienare potest, prout vult, quin et de iis testari: quae vero post episcopatum acquisivit, ad ecclesiam pertinent, neque de illis testatur, nisi forte a parentibus aut thiis aut fratribus ad ipsum pervenerint.

2. Monasterium ingressurus ante ingressum de rebus suis statuat, quandoquidem omnia ejus bona monasterio addicuntur, etiamsi non diserte dixerit ea se

1) R: διαθηκῶν. Nov. 131 c. 13. — Harm. V, 4, 1.
2) P: βι. α΄ τοῦ κώδ. τί. γ΄ διατ. μα΄. — Cod. I, 3, 41.
3) Deest in C.

ῥητῶς φήσειεν εἰσάγειν αὐτὰ, καὶ οὐκέτι ἔσται κατ' οὐδένα τρόπον κύριος αὐτῶν [4]).

γ'. Ὁ ἐπὶ παισὶ μονάσας δύναται καὶ μετὰ τὸ μονάσαι διελεῖν τὴν οὐσίαν αὐτοῦ τοῖς ἰδίοις παισὶ, φυλάττων ἑαυτῷ ἓν μέρος, ὃ καὶ τῷ μοναστηρίῳ ἁρμόζει. ἐὰν δὲ ἀδιάθετος τελευτήσῃ, τότε οἱ παῖδες αὐτοῦ λήψονται τὰ [5]) *ἐξ ἀδιαθέτου, τουτέστι τὸν φαλκίδιον, καὶ τὸ λοιπὸν δίδοται τῷ μοναστηρίῳ* [6]).

δ'. Ὁ ἀπὸ μοναστηρίου εἰς ἄλλο μοναστήριον μετιὼν ἐκπίπτει τῶν ἰδίων πραγμάτων μηδὲ [7]) *προσδεχθείς* [8]).

illaturum: neque ulla amplius ratione illorum est dominus.

3. Qui liberos habens monasterium ingreditur, potest etiam post ingressum liberis suis patrimonium dividere, reservans sibi portionem, quae monasterio competit. Sed si intestatus moritur, tunc liberi partem ab intestato debitam, id est Falcidiam, capient: et residuum datur monasterio.

4. Qui ex monasterio in aliud monasterium transit, rebus suis excidit, licet non recipiatur.

4) Nov. 5 cap. 5. — Harm. §. 2.

5) B: *τό*.

6) Nov. 123 c. 38. — Harm. §. 6.

7) C: *μή*

8) Nov. 123 c. 42. — Harm. §. 7. — P *ψευδότιτλον* hic addit, *περὶ ἀτελοῦς διαθήκης* inscriptum, et in §§ 7 divisum, quarum prima exhibet caput 27 Eclogae Novellarum Leonis (i. e. partem Nov. Leonis 42), ultima vero continet fragmentum ex Novella Romani in JGR II p. 160 lin. 32 — 47.

ΤΙΤΛΟΣ ΕΙΚΟΣΤΟΣ ΠΕΜΠΤΟΣ.

Περὶ ἀνατροπῆς διαθήκης [1]).

α'. Ταῖς διαθήκαις τρία πάθη παρενοχλεῖ, οἷον ῥῆξις, ἀκυρωσία καὶ ἀτέλεια.

β'. Ἀλλ' αἱ μὲν ῥηγνύμεναι ἢ καθόλου ῥήγνυνται ἢ ἐκ μέρους. καὶ καθόλου μὲν κατὰ ἓξ τρόπους.

Καὶ πρῶτος τρόπος ἐστὶν, ὅταν τὶς μετὰ τὴν ποίησιν τῆς διαθήκης εἰς υἱοθεσίαν τινὰ λάβῃ καθ' οἱονδήποτε τρόπον τῆς υἱοθεσίας.

Δεύτερος, ὅταν μετὰ τὴν ποίησιν τῆς διαθήκης ἢ τὸν θάνατον τοῦ διατιθεμένου υἱὸς τεχθῇ, ἢ ἐξ ὑπεξουσίου υἱοῦ θανόντος [2]) ἔγγονος, κἂν μετὰ τοὺς ὁρισθέντας [3]) κληρονόμους πρόσκειται ἐν τῇ διαθήκῃ οὕτως· ἔστωσαν ἀπόκληροι· εἰ μὴ ἄρα ληγατευθῇ, ἢ ἐκτρώσῃ ἡ τίκτουσα.

TITULUS VICESIMUS QUINTUS.

De infirmatione testamenti.

1. Testamentis tria vitia officiunt: vitium scilicet rupti, irriti, et imperfecti.

2. Sed quae rumpuntur, aut in totum rumpuntur aut pro parte. Et in totum quidem sex modis.

Primus modus est, si quis post factum testamentum aliquem quoquo adoptionis modo adoptet.

Secundus, quum post conditum testamentum aut mortem testatoris filius nascitur, aut ex praemortuo filiofamilias nepos, etiamsi post heredum institutionem sic adscriptum sit in testamento: exheredes sunto; nisi forte quid legatum sit, aut puerpera abortum fecerit.

1) P ad rubricam laudat: Ἰνστιτ. β' τι. ιζ' καὶ ιγ'. — Ex quo fonte hic titulus haustus sit, non scio, licet complura proxime accedant ad ea, quae Inst. II, 17 et apud Theophil. ibid. leguntur. — Apud Harm. V, 5, 1 — 4 integrum titulum invenies, ibique juris Justinianei locos ad singula capita respicientes a Reitzio aliisque diligenter notatos.

2) C: θάνατος. — Bodlej. 3399 mox: ἔγγονος παροφθῇ.

3) B: ὡρισμένους.

Τρίτος, ὅταν ὁ θετὸς υἱὸς ὑπεξούσιος ὢν οὐ μνημονευθῇ ἐν τῇ διαθήκῃ.

Τέταρτος, ὅταν δευτέρα γένηται διαθήκη κατὰ νόμον, εἴτε γέγονέ τις ἐν αὐτῇ κληρονόμος, εἴτε μὴ γέγονε τῶν πεφυκότων κληρονομεῖν [4]).

Πέμπτος, ὅταν δευτέρα διαθήκη κατὰ νόμους γενομένη κληρονόμον ἕτερον εἰς ὡρισμένα πράγματα καταστήσῃ, μὴ βεβαιοῦσα τὰ τῆς πρώτης διαθήκης.

Ἕκτος, ὅταν στρατιώτου υἱὸς ἐγκυμονούμενος παρ' αὐτῷ ἐν τῇ ποιήσει τῆς διαθήκης ἠγνοήθη. εἰ γὰρ γνοὺς αὐτὸν ἐσιώπησεν, οὐ ῥήγνυται ἡ διαθήκη.

γ'. Ἐκ μέρους δὲ κατὰ τρόπους δύο. καὶ πρῶτος τρόπος ἐστὶν, ὅταν δευτέρα [5]) *διαθήκη τὰ μὲν ἐν τῇ πρώτῃ βέβαια μένειν διαγορεύῃ, ἕτερον δὲ κληρονόμον εἰς ὡρισμένα πράγματα κατέστησεν. ἀρκεῖ γὰρ αὐτῷ τὰ ἐαθέντα, εἰ καὶ μὴ ποιῇ τὸν φαλκίδιον* [6]).

Δεύτερος δὲ, ὅταν τὶς θυγατέρα ὑπεξουσίαν ἔχῃ ἢ ἔγγονον ἢ ἐγγόνην, οὐκ ἔγραψε δὲ αὐτοὺς κληρονό-

Tertius, quando filii adoptivi in potestate adhuc constituti nulla in testamento facta est mentio.

Quartus, ubi alterum testamentum fit secundum leges, sive quis ex eo fiat heres, sive nullus scriptus sit eorum, qui heredes esse possunt.

Quintus, si secundum testamentum jure factum alium heredem ex re certa instituerit, nec primum testamentum confirmaverit.

Sextus, si miles infantem ex se conceptum esse tempore faciendi testamenti ignoraverit: nam si id sciens eum praeterierit, testamentum non rumpitur.

3. Pro parte autem duobus modis: et primus est modus, quum secundum testamentum praeceperit quidem, ut in priori testamento scripta valeant, sed alium heredem in certas res instituerit; huic enim relicta sufficiunt, licet Falcidiam non expleant.

Secundus vero, si quis filiamfamilias aut nepotem aut neptem habeat, eos tamen heredes non scripsit;

4) B: *κληρονόμων.*
5) B: *ἡ δευτέρα.*
6) Bodlej. 3399 addit: *ὥστε ἀναπληροῦσθαι τὸ λεῖπον τοῦ φαλκιδίου αὐτοῦ. ὡς βι. β' ἰνστιτ. ζ'* (l. *ιζ'*).

μους. τότε ἡ μὲν διαθήκη οὐ ῥήγνυται τέλεον[7]), αὐτοὶ δὲ τῇ κληρονομίᾳ ὑπεισέρχονται. καὶ εἰ μέν ἐστι γραφεῖσα ἡ κληρονομία εἰς ἐξωτικοὺς, τουτέστι τοὺς μὴ ὄντας συγγενεῖς, τὸ ἥμισυ οἱ οἰκεῖοι λαμβάνουσιν[8])· εἰ δὲ εἰς οἰκείους, ἐπίσης πάντες.

δ'. Αἱ δὲ ἀκυρούμεναι κατὰ δ' τρόπους γίνονται. καὶ πρῶτος τρόπος ἐστὶν, ὅταν ὁ διαθέμενος θανάτῳ καταδικασθῇ ἢ ἐξορισθῇ, [ἢ αὐτεξούσιος ὢν ἑαυτὸν εἰς υἱοθεσίαν ἑτέρῳ παράσχῃ][9]), ἢ ὑπεξούσιος ὢν αὐτεξούσιος γέγονεν.

Δεύτερος δὲ, ὅταν δευτέρας ἐννόμου γραφείσης διαθήκης τότε[10]) ἡ μὲν πρώτη ῥήγνυται, ἡ δὲ δευτέρα ἀκυροῦται δι' αἰτίαν τῶν πεφυκότων κληρονομεῖν, τουτέστιν ὅταν ἀποτάξωνται τὴν κληρονομίαν ἢ ὅταν προτελευτήσωσι τοῦ διατιθεμένου[11]), ἢ ὅταν μετὰ τὴν τελευτὴν τοῦ διατιθεμένου[12]) πρὸ τοῦ παραλαβεῖν τὴν

tunc testamentum non rumpitur in totum, sed hi hereditatem subintrant. Et quando hereditas delata est extraneis, hoc est iis, qui cognati non sunt, sui heredes semissem capiunt: quando suis, omnes ex aequo veniunt.

4. Irrita autem fiunt testamenta quatuor modis. Primus est, si testator capitis condemnetur aut deportetur, vel si, cum sui juris esset, alii sese adoptandum dederit, vel si, cum filiusfamilias esset, sui juris fiat.

Secundus, quum secundo testamento legitime facto primum quidem rumpitur, sed secundum irritum fit per causam eorum, qui heredes scripti sunt, id est si hereditatem repudient, aut ante testatorem obierint, aut post mortem testatoris ante aditam hereditatem mo-

7) C: τελευταῖον.

8) Bodlej. 3399 addit: εἰς προσαύξησιν. Mox post πάντες addit: ἀνάγν. βι. β' ἰνστ. σημ. προσαύξησις δέ ἐστι μέρος ἀφαιρέσεως.

9) Verba: ἢ αὐτεξούσιος ὢν ἑαυτὸν εἰς υἱοθεσίαν ἑτέρῳ παράσχῃ ex Bodlej. 3399 et Harmenopulo addo. In C utique desunt; in reliquis autem Codicibus an deficiant, in schedis haud notavi.

10) Malim: τῷ τε.

11) C: διαθεμένου.

12) C verba: ἢ ὅταν — διατιθεμένου non habet.

κληρονομίαν τελευτήσωσιν, ἢ ὅταν ὑπὸ αἵρεσιν ἐγράφησαν καὶ ἡ αἵρεσις ἠτόνησεν.

Τρίτος δὲ τρόπος, ὅταν τὶς δίκην ἔχων πρός τινα τὸν βασιλέα κληρονόμον ποιήσῃ ἐγγράφως ἢ ἀγράφως, εἰ μὴ ἄλλως πῶς κατὰ νόμους κληρονομῇ αὐτὸν ὁ βασιλεύς. εἰ γὰρ καὶ νόμοις οἱ βασιλεῖς οὐχ ὑπόκεινται, ἀλλ᾽ οὖν κατὰ νόμους πολιτεύονται.

Τέταρτος δὲ τρόπος ἐστὶν, ὅταν ἀποσφραγίσας εἴασεν αὐτὴν οὕτως [13]), ἢ [14]) εἶπεν ὅτι οὐκ ἰσχύειν αὐτὴν βούλομαι. τὰ γὰρ κατὰ νόμους γινόμενα ἐννόμως ἀνατρέπεσθαι δεῖ.

ε'. Αἱ δὲ ἀτελεῖς κατὰ ε' τρόπους νοοῦνται. καὶ πρῶτος μὲν τρόπος ἐστὶν [15]), ὅταν μὴ παρόντων ζ' ἢ ε' μαρτύρων κατὰ τὰ παρ' ἡμῶν νομοθετηθέντα γίνεται ἡ [16]) διαθήκη.

Δεύτερος δὲ, ὅταν παρόντων οὐ πάντες ὑπέγραψαν.

riantur, aut si sub conditione sint scripti eaque conditio defecerit.

Tertius vero modus, si quis litem habens principem vel scripto vel non scripto testamento heredem fecerit, nisi alio quo modo princeps secundum leges ei heres sit. Quamquam enim principes legibus non subjacent, attamen secundum leges vivunt.

Quartus autem modus est, si quis resignaverit testamentum idque sic siverit, vel si dixerit se velle eam irritam esse. Quae enim secundum leges fiunt, legitime rescindi debent.

5. Imperfecta autem testamenta quinque modis intelliguntur. Et primus quidem modus est, si non praesentibus septem aut quinque testibus, secundum ea, quae a nobis statuta sunt, testamentum fiat.

Secundus autem, si iis praesentibus non omnes subscripserint.

13) Deest in C.
14) Reitzius corrigit: οὐκ εἰ. Quod rationem habet. Sed cf. not. 19 (p. 140 col. 2 l. 34 sqq.).
15) Deest in B.
16) Deest in B.

Τρίτος, ὅταν πάντες μὲν ὑπέγραψαν [17]), οὐκ ἐσφράγισαν δὲ πάντες.

Τέταρτος, ὅταν ὁ διαθέμενος οἰκείᾳ χειρὶ τὸ τοῦ κληρονόμου ὄνομα μὴ γράψας οὐκ ἐμνημόνευσεν ἐπὶ τῶν μαρτύρων.

Πέμπτος, ὅταν αὐτεξουσίους ἢ ὑπεξουσίους [18]) υἱοὺς ἢ ἐγγόνους ἐξ ὑπεξουσίων παίδων τελευτησάντων ἔχων τὶς, τούτους οὔτε κληρονόμους οὔτε ἀποκληρονόμους ἔγραψεν, κἂν τύχῃ αὐτοὺς προτελευτῆσαι, διὰ τὸν κανόνα τὸν λέγοντα· τὰ ἐξ ἀρχῆς ἐν διαθήκαις ἀνυπόστατα ἐκ τῶν μετὰ ταῦτα ἐπιγινομένων ἰσχὺν λαμβάνειν οὐ δύναται [19]).

Tertius, si omnes quidem subscripserint, non autem omnes signaverint.

Quartus, si testator neque nomen heredis propria manu scripserit, neque coram testibus declaraverit.

Quintus, si quis liberos habens vel emancipatos vel in potestate, vel nepotes ex filiisfamilias praemortuis, hos neque heredes neque exheredes scripsit, etiamsi accidat, ut praemoriantur, propter regulam dicentem: Quae ab initio in testamentis consistere nequeunt, ex post facto vim capere non possunt.

17) Verba: Τρίτος — ὑπέγραψαν in C sunt omissa.

18) Haec verba ἢ ὑπ. in B desunt.

19) Addo ex Cod. Paris. 1367 ad hunc titulum commentariolum, cujus fragmenta etiam in Prochirum auctum h. t. relata sunt: Σχόλιον. Οὗτος ὁ τίτλος οἶμαι ὅτι ἐν πολλοῖς διασφάλλεται. οἵ τε γὰρ τρόποι τῆς καθ' ὅλου ῥήξεως οἱ πρῶτοι καὶ ὁ τῆς ἐκ μέρους δεύτερας καὶ ὁ πέμπτος τῆς ἀκυρωσίας ἑνὶ λόγῳ τῷ τῆς ριε' νεαρᾶς κανόνι ἐμπίπτουσι, καὶ ὡς ἐκείνη φησὶ, τῆς ἐνστάσεως μόνης ἀνατρεπομένης, τῶν δὲ ἄλλων τῆς διαθήκης βεβαίων μενόντων, ὑπεισέρχονται οἱ ἀμνημόνευτοι καὶ ἀλόγως ἀπόκληροι παῖδες, εἴτε φυσικοί εἰσιν εἴτε θετοὶ, εἴτε ἄῤῥενες εἴτε θήλειαι, εἴτε ὑπεξούσιοι εἴτε αὐτεξούσιοι, καὶ . . . . . εἴτε προτεχθέντες, καὶ μετὰ τῶν γεγραμμένων κληρονόμων ἐξίσου κληρονομοῦσιν. Ἀπορήσειε δ' ἄν τις περὶ τῶν γεγραμμένων, πότερον παῖδες ἢ ἐξωτικοί· καὶ περὶ τοῦ στρατιώτου τοῦ ἐν τῷ ϛ' τρόπῳ λεγομένου, ὅτι ἡ νεαρὰ ἀδιαφόρως λέγεται περὶ πατέρων. καὶ μήποτε καὶ ὁ στρατιώτης ἐκεῖ συνταχθήσεται· οἱ δὲ γεγραμμένοι κληρονόμοι εἶναι

παῖδες μόνον, καθὰ μᾶλλον τὸ ῥητὸν ὑπεμφαίνει, νοηθήσονται· κρατήσει ἐπὶ τῶν ἐξωτικῶν τὸ ἐν τῷ β' τρόπῳ τῆς ἐκ μέρους ῥήξεως λεγόμενον, ὅτι τὸ ἥμισυ οἱ ἐξωτικοὶ λαμβάνουσιν. Ἀλλὰ καὶ εἰς τοῦτο φύεται ζήτησις. ἔνθα γὰρ ἐν τοῖς ἰνστιτούτοις λέγεται, τρεῖς ἐξωτικοὶ καὶ εἷς παῖς ὑπετέθη· ὥστε συμβαίνειν τοὺς μὲν τρεῖς ἔχειν τὸ ἥμισυ. καὶ τοῦτο δηλοῖ ὁ τοῦ νομοθέτου σκοπὸς, τὸ πλέον ἔχειν τοὺς παῖδας τῶν ἐξωτικῶν. εἰ οὖν συμβῇ τὸ ἀνάπαλιν, καὶ τρεῖς μέν εἰσι παῖδες, εἷς δὲ ἐξωτικὸς, πῶς ἔσται ὁ διαμερισμός; μήποτε οὖν διὰ ταῦτα βέλτιον πάντας ἐξίσου συμμερίζεσθαι. καὶ ταῦτα μὲν περὶ τῶν εἰρημένων τρόπων. Ὁ μέντοι δ' καὶ ε' τῆς καθ' ὅλου ῥήξεως καὶ ὁ α' τῆς ἐκ μέρους δοκοῦσιν ὑγιεῖς, ἀλλ' οἶμαι σχεδὸν ἐπὶ ἐξωτικῶν κληρονόμων θεωρούμενοι. Ἀλλὰ καὶ τῶν ἀκυρουμένων ὁ μὲν πρῶτος τρόπος δοκεῖ πως ἀμφίβολος. εἰ μὲν γὰρ ὁ καταδικαζόμενος θανάτῳ ἢ περιοριζόμενος δημευθῇ, πάντως ἡ διαθήκη ἄκυρος ἔσται, ὥσπερ εἰ καὶ ἐμπρησθέντος αὐτοῦ ἢ ναυαγήσαντος ἢ ἄλλως πως πτωχεύσαντος ταὐτὸ συνέβη. σωζομένης δὲ καὶ [οὐ] δημευομένης τῆς ὑποστάσεως πῶς καὶ ὑπὸ τίνος ἡ διαθήκη ἀνατραπήσεται; Ὁ δὲ εἰς υἱοθεσίαν διδοὺς ἑαυτὸν αὐτεξούσιος, εἰ μὲν ἑκὼν καὶ τὴν ἑαυτοῦ οὐσίαν ὑπὸ τὴν τοῦ υἱοθετοῦντος ἐξουσίαν πεποίηκεν, αὐτὸς πάντως καὶ οὐχ ἡ υἱοθεσία τὴν ἑαυτοῦ διαθήκην ἠκύρωσεν. εἰ δὲ καταδουλῶν ἑαυτὸν τὴν αὐτοῦ ὑπόστασιν ἐλευθέραν μένειν βεβούληται, τίς ἐστιν ὁ ἀκυρώσας τὴν διαθήκην; Περὶ δὲ τῶν ὑπεξουσίων προείρηται, ὅτι εἰς μόνα τὰ καστρένσια πεκούλια δύνανται διατίθεσθαι, καὶ ἡ εἰς ταῦτα αὐτῶν διαθήκη καὶ αὐτεξουσίων αὐτῶν γενομένων πολλῷ μᾶλλον ἔρρωται. εἰ δὲ τὸ ἐνταῦθα κείμενον περὶ διαθήκης φησὶν ὑπ' αὐτῶν γενομένης, ἐφ' οἷς ἐξουσίαν οὐκ ἔχουσι, παντάπασι μάταιον· τοῦτο γὰρ καὶ ἐπὶ πάντων αὐτεξουσίων. Ὁ δὲ δεύτερος τρόπος δοκεῖ πως ὑγιὴς, εἴγε ἀντιπροστεθείη ἐπὶ τῶν προτελευτησάντων καὶ μάλιστα πρὸ τοῦ λαβεῖν τὴν κληρονομίαν τὸ κληρονόμους οὐκ ἔχοντες. εἰ γὰρ ἔχουσι, παραπέμπουσιν αὐτοῖς τῆς κληρονομίας τὸ δίκαιον· κατὰ μὲν τὸν νόμον οἱ κατιόντες μόνοι, κατὰ δὲ τὴν πρᾶξιν καὶ οἱ ἐξωτικοί. ὁ δὲ τρόπος δικαιότατος καὶ ἐννομώτατος καὶ καλῶς κείμενος. Τέταρτος δὲ τρόπος ὅταν ἀποσφραγίσας εἴασεν αὐτὴν οὕτως, ἢ εἶπεν ὅτι οὐκ ἰσχύειν αὐτὴν βούλομαι· τὰ γὰρ κατὰ νόμους γενόμενα ἐννόμως ἀνατρέπεσθαι δεῖ. Τὸ μὲν ἀποσφραγίσαι τοῦ κώδικος. τὸ δ' εἰπεῖν, ὅτι οὐκ ἰσχύειν αὐτὴν βούλεται, τῶν ἰνστιτούτων μὲν, ἀλλὰ μᾶλλον ἐπὶ τῷ μὴ ἀνατρέπειν ἐκεῖσε κείμενον· οὕτω γὰρ αὐτῷ καὶ ὁ κανὼν ἁρμόζει. δεῖ οὖν, εἰ ἔξεστιν αὐτὰ ἑνωθῆναι, τοῦτο προσθῆναι· εἰ γὰρ οὐκ ἀπεσφράγισε μὲν, εἶπε δὲ οὕτως ἁπλῶς, ὅτι οὐκ ἰσχύειν αὐτὴν βούλομαι, οὐκ ἔστιν ἀνίσχυρος ἡ διαθήκη, καὶ οὕτως ὑπάγειν κατὰ νόμους. Τῶν δ' ἀτελῶν ὁ μὲν πρῶτος καὶ ὁ τέταρτος τρόπος πάνυ ὑγι-

ΤΙΤΛΟΣ ΕΙΚΟΣΤΟΣ ΕΚΤΟΣ.

Περὶ λύσεως ὑπεξουσιότητος.

α΄. Ἔγνωμεν ὅτι τὴν ἐξουσίαν ἔχομεν κατὰ [1] τῶν ἡμετέρων οἰκετῶν καὶ κατὰ τῶν ἡμετέρων παίδων, τοῦτο μὲν φυσικῶν, τοῦτο δὲ καὶ θετῶν. νῦν δὲ σκοπήσωμεν, τίνι διαλύεται τρόπῳ ἡ ὑπεξουσιότης. ἀλλὰ περὶ μὲν τῶν οἰκετῶν μαθησόμεθα ἐν τῷ περὶ ἐλευθερίας τίτλῳ, περὶ δὲ τῶν παίδων ἐντεῦθεν. Λύεται τῆς ὑπεξουσιότητος ὁ παῖς θανάτῳ τοῦ πατρὸς, οὐκ ἀεὶ δέ· εἰ μὲν γὰρ πατήρ ἐστιν ὁ τελευτήσας, ἀμάχως οἱ παῖδες αὐτεξούσιοι γίνονται· τελευτήσαντος δὲ πάππου,

TITULUS VICESIMUS SEXTUS.

De emancipatione.

1. Novimus potestatem nos habere in servos nostros et in liberos nostros, tam naturales quam adoptivos. Nunc videamus, quomodo haec potestas solvatur. Ac de servis quidem in titulo de libertate audiemus, de liberis autem hoc loco. Solvitur patria potestate filius per patris mortem, nec tamen semper; nam si pater sit, qui moriatur, liberi sine controversia sui juris fiunt: avo autem defuncto, nepotes non omnino sui

εἷς· ὁ δεύτερος δὲ καὶ ὁ τρίτος καὶ αὐτοὶ μὲν νόμιμοι, πλὴν ἀμφιβολίας τινὰς ἔχοντες. ἀπορεῖται γὰρ, εἰ ἄρα κατὰ τὴν τοῦ γράμματος ψιλὴν διάνοιαν τοῦ νόμου, εἰ μὴ πάντες ὑπογράψωσιν ἢ σφραγίσωσιν, ἀσθενήσει τὰ τῆς διαθήκης παντάπασι, καὶ ταῦτα τῶν μαρτύρων ἔτι περιόντων καὶ τότε πλειόνων, ἀλλὰ καὶ ἀξιοπίστων, καὶ δυναμένων ἀγράφως ἐπαγγεῖλαι τῆς διαθήκης τὴν δύναμιν· καὶ τὸ πλέον, ἡνίκα ἐν χώραις καὶ πόλεσιν ἡ διαθήκη συνέστη, καθ᾽ ἃς ὁ νόμος ἠγνόηται, ἢ καὶ τῆς αὐτοῦ γνώσεως ἐπικρατεστέρα ἐστί τις ἄλλη συνήθεια. Περὶ δὲ τοῦ πέμπτου τρόπου ἤδη προείρηται· ἀλλὰ καὶ τὸ κἂν τύχῃ αὐτοὺς προτελευτῆσαι ὑπὸ τῆς νεαρᾶς σιωπηρῶς οἶμαι ἀνῄρηται· εἰ γὰρ, ὡς ἐκείνη φησὶ, καὶ αὐτοὶ ζῶντες ἀμνημόνευτοι ἢ ἀλόγως ἀπόκληροι καὶ περὶ τούτου ἐνάγοντες οὐχ ὅλην τὴν διαθήκην, ἀλλὰ μόνην τὴν ἔνστασιν ἀνατρέπουσι, τίς ἄρα ἕτερος πλὴν τῶν κατιόντων ἢ κατὰ μέρος ἢ ὅλην τὴν διαθήκην ἀνατρέψαι δυνήσεται; —

1) B: καὶ κατά.

οὐ πάντως οἱ ἔγγονοι αὐτεξούσιοι γίνονται. δεῖ γὰρ σκοπεῖν τὸν καιρὸν τῆς τοῦ πάππου τελευτῆς, καὶ εἰ μὲν εὑρεθῇ τὸ μέσον πρόσωπον, τουτέστιν ὁ υἱὸς ὑπεξούσιος, οἱ δὲ ἔγγονοι κατ' ἐκεῖνον τὸν χρόνον [2]) ὑπεξούσιοι τῷ πάππῳ καθ' ὃν τελευτᾷ, ἔσονται ὑπεξούσιοι τῷ πατρὶ τελευτήσαντος τοῦ πάππου οἱ ἔγγονοι· μεταπεσοῦνται γὰρ εἰς τὴν τοῦ οἰκείου πατρὸς ὑπεξουσιότητα. εἰ δὲ ὁ μέσος ἢ προετελεύτησε τοῦ πατρὸς ἢ τῆς ὑπεξουσιότητος αὐτοῦ ἠλευθερώθη, τότε οἱ ἔγγονοι, ἐπειδὴ οὐ μεταπίπτουσιν εἰς τὴν τοῦ [3]) ἑτέρου ὑπεξουσιότητα, αὐτεξούσιοι γίνονται [4]).

β'. Ἐὰν καταδικασθῇ τις θανάτῳ, ἅμα τῇ ἀποφάσει γίνονται οἱ παῖδες αὐτεξούσιοι [5]).

γ'. Ἐὰν γένηται πατρίκιος ὁ ὑπεξούσιος, ἅμα τῷ δέξασθαι τοὺς κωδικέλλους τῆς πατρικιότητος τῆς τοῦ πατρὸς ὑπεξουσιότητος ἀπαλλάττεται [6]).

δ'. Τὸν ἐμὸν πατέρα συνέβη γενέσθαι αἰχμάλωτον· ἐν τῷ μεταξὺ ἐν ἠρτημένῳ ἔσται [7]) τὰ τῆς ὑπε-

juris fiunt. Spectandum enim est tempus mortis avi, et si quidem inveniatur persona media, id est filiusfamilias, ac nepotes eo tempore, quo avus moritur, in ejusdem avi potestate sint, nepotes moriente avo in patris potestatem devenient: namque in patris sui potestatem recident. Sin media persona aut ante patrem sit defuncta aut potestate ejus liberata, tunc nepotes, quandoquidem in alius potestatem non recidunt, sui juris fiunt.

2. Si quis capitis damnatus sit, simulatque sententia lata est, liberi sui juris fiunt.

3. Si filiusfamilias fiat patricius, simulatque patriciatus codicillos acceperit, patris potestate exit.

4. Evenit, ut pater meus bello caperetur; interim potestatis jura suspensa manent, et si quidem pater

2) R: καιρόν.

3) Deest in B.

4) Theophil. Inst. I, 11 (12) pr. — Harm. I, 17, 1. 2.

5) Theophil. §. 1. — Harm. §. 3.

6) Theophil. §. 4. — Harm. §. 4.

7) C: ἔστω

ξουσιότητος· καὶ εἰ μὲν ὑποστρέψῃ ὁ πατὴρ, ἔσομαι αὐτοῦ ὑπεξούσιος, εἰ δὲ ἐκεῖ τελευτήσει, γενήσομαι αὐτεξούσιος. ζητοῦμεν δὲ, ἐκ ποίου χρόνου δοκῶ τῆς ὑπεξουσιότητος ἀπαλλάττεσθαι, πότερον ἐξ οὗ ἐλήφθη, ἢ ἐξ οὗ ἐτελεύτησε παρὰ τοῖς πολεμίοις. ἔστι γὰρ ὅλως τὶς διαφορὰ καὶ πάνυ. ὑπόθου γάρ [8]) ἔχειν τινὰ δύο παῖδας καὶ δισχιλίων νομισμάτων περιουσίαν, ληφθῆναί τε ὑπὸ τῶν πολεμίων. τούτων ὁ μὲν ἦν [9]) σπουδαῖος καὶ λαβὼν νομίσματα δύο [10]) ἐκ τῆς τοῦ πατρὸς περιουσίας ἐξ οἰκείων καμάτων ἠδυνήθη χίλια νομίσματα ἐμπορευσάμενος κερδᾶναι· ὁ δὲ ἕτερος ῥάθυμος ὢν οὐδὲν προσεκτήσατο. μετὰ χρόνον τινὰ ἀπηγγέλθη, ὅτι παρὰ τοῖς πολεμίοις ἐτελεύτησεν αὐτῶν ὁ πατήρ· ἠβούλοντο μερίσασθαι τὸν πατρῷον κλῆρον. καὶ ὁ μὲν ῥάθυμος ἔλεγεν· νῦν ὅτε τῇ ἀληθείᾳ ὁ πατὴρ ἐτελεύτησε, γεγόναμεν αὐτεξούσιοι· οὐκοῦν ὅσα ἐκτήσω σὺ ὁ σπουδαῖος, τοῦ πατρός ἐστι, καὶ δεῖ ἡμᾶς τὰ τρισχίλια μερίσασθαι, τουτέστι λαβεῖν ἀνὰ χιλίων πεντακοσίων. ὁ δὲ σπουδαῖος ἔλεγεν, ἐξ ἐκείνου

redierit, ero in ejusdem potestate: sin moriatur, mei juris fiam. Quaerimus autem, ex quo tempore liberatus potestate videar, utrum ex quo pater captus fuit, an ex quo apud hostes decesserit. Est enim omnino discrimen aliquod et quidem maxime. Finge enim, habere aliquem duos filios, et bis mille aureorum patrimonium, captumque esse ab hostibus. Horum autem alter erat diligens, et accipiens duos aureos ex patris bonis suis laboribus mille aureos negotiando lucri fecit: alter autem negligens nihil acquisivit. Post tempus aliquod renuntiatum est, illorum patrem apud hostes obiisse. Volebant igitur paternam hereditatem partiri; et negligens quidem ille dicebat: nunc, cum vere pater obiit, nostri juris facti sumus: itaque quaecunque tu diligens acquisivisti, patris sunt, et oportet nos tria millia partiri, id est utrumque capere millenos quingentos. Diligens autem dicebat, ex eo tempore,

8) C: γάρ μοι.

9) L: εἷς.

10) Reitzius ex Theophilo χίλια pro δύο reponendum esse censet.

ἐξ οὗ συνέβη [11]) ληφθῆναι τὸν πατέρα γεγενῆσθαι ἡμᾶς αὐτεξουσίους· δοκεῖ γὰρ ὁ μὴ ὑποστρέψας κατ' ἐκεῖνον τεθνᾶναι τὸν καιρόν· οὐκοῦν ὡς αὐτεξούσιος ὅσα ἂν ἐκτησάμην, ἐμαυτῷ καὶ οὐχ ἑτέρῳ προσεπόρισα. καὶ μᾶλλον ταύτῃ πειθόμεθα τῇ γνώμῃ [12]).

ε'. Ὁ μέλλων αὐτεξούσιον τὸν παῖδα αὐτοῦ ποιῆσαι, προσιέτω τῷ ἁρμοδίῳ δικαστῇ καὶ λεγέτω αὐτῷ, ὅτι τόνδε ποιῶ αὐτεξούσιον καὶ τῆς ἐμαυτοῦ ἀφίημι χειρός· ὥστε [13]) εἰ συμβῇ τὸν παῖδα ἄτεκνον ὄντα διαθέσθαι, ἐῤῥῶσθαι τὴν ἐκείνου διαθήκην, φυλάττοντος δηλονότι τὴν νόμιμον μοῖραν τῷ πατρί [14]).

ς'. Δύναταί τις τὸν μὲν υἱὸν ποιεῖν αὐτεξούσιον, τὸν δὲ ἔγγονον κρατεῖν ὑπεξούσιον· καὶ ἐκ τοῦ ἐναντίου τὸν ἔγγονον ποιεῖν αὐτεξούσιον, κατέχειν δὲ ὑπεξούσιον τὸν υἱόν. τὸ αὐτὸ καὶ ἐπὶ προσεκγόνων [15]).

ζ'. Εἶχέ τις υἱὸν ὑπεξούσιον, ὃς εἶχε γαμετὴν ἐγκύμονα· τὸν υἱὸν ἐποίησεν αὐτεξούσιον ἢ εἰς θέσιν

quo evenit, ut pater caperetur, nostri nos juris esse factos: videtur enim non reversus illo decessisse tempore: itaque ut paterfamilias quaecunque acquisivi, mihi ipsi, non alii acquisivi. Et huic potius obsequimur sententiae.

5. Qui filium suum emancipare volet, competentem adeat judicem, eique dicat: hunc sui juris facio manuque mea mitto. Ita, si filius sine prole decedens testamentum forte fecerit, valet ejus testamentum, dummodo legitimam portionem patri servarit.

6. Potest quis filium quidem emancipare, nepotem vero in sua retinere potestate: et ex diverso emancipare nepotem ac filium retinere in potestate. Idem est in pronepotibus.

7. Habebat quis filium in potestate, cui uxor erat praegnans: filium emancipavit aut alii in adoptionem tra-

11) C omittit verbum συνέβη, sed pro ληφθῆναι ponit: συλληφθ.

12) Theophil. §. 5. — Harm. §. 5. 6.

13) R: ὅτε.

14) Theophil. §. 6. — Harm. §. 7.

15) Theophil. §. 7. — Harm. §. 9.

αὐτὸν ἄλλῳ δέδωκεν· ἐτέχθη μετὰ ταῦτα ὁ [16]) ἔγγονος. λέγομεν ὑπεξούσιον αὐτὸν γενέσθαι τοῦ πάππου, ἐπειδὴ σκοποῦμεν ἐπὶ τῶν ἐννόμων γάμων τὸν καιρὸν τῆς συλλήψεως· ὅτε δὲ ἡ σύλληψις ἐγένετο, ὑπεξούσιος ἦν ὁ υἱὸς ὁ τοῦτον σπείρας [17]).

η΄. Ἡ ἔμπρακτος ἐπαρχότης [18]) ἢ [19]) στρατηγία καὶ ἡ ἐπισκοπὴ λύει τὴν ὑπεξουσιότητα [20]).

ΤΙΤΛΟΣ ΕΙΚΟΣΤΟΣ ΕΒΔΟΜΟΣ.

Περὶ μαρτύρων [1]).

α΄. Ἀξιόπιστοι ἔστωσαν οἱ μάρτυρες, καὶ μή τινες ἐπιδίφριοι [2]), μηδὲ χαμερπεῖς, μηδὲ παντοίως ἄσημοι [3]).

β΄. Οἱ ἄγνωστοι τῶν μαρτύρων καὶ βασανιζέσθωσαν εἰ δεήσοι [4]).

γ΄. Οἱ μαρτυροῦντες περὶ χρεῶν ἐγγράφων εἰπά-

didit: postea natus est nepos. Dicimus eum in potestate esse avi, quoniam in justis nuptiis conceptionis tempus spectamus: quum autem hic conciperetur, in potestate erat filius, qui hunc genuit.

8. Qui in actu praefectus est, aut magister militum, aut episcopus, patria potestate solvitur.

TITULUS VICESIMUS SEPTIMUS.

De testibus.

1. Fide digni sunto testes, et non sellularii quidam, neque humiles, neque omnino obscuri.

2. Ignoti testes etiam torqueantur, si opus fuerit.

3. Qui de debitis scriptis testantur, dicant se so-

16) Deest in B.

17) Theophil. §. 9. — Harm. §. 10.

18) R: ὑπαρχότης.

19) B: ἤ.

20) Nov. 81. — Harm. § 11.

1) R addit: εὐπροσδέκτων καὶ κεκωλυμένων.

2) C: ἐπιδιφόριοι.

3) P: βι. κβ΄ τί. ε΄ διγ. ζ΄. — Nov. 90 cap. 1. — Harm. I, 6, 1.

4) P: νεαρὰ ζ΄ κεφ. β΄. — Nov. et Harm. ll. cc.

τωσαν ὡς τῇ καταβολῇ παρῆσαν ἢ ἐπ' αὐτοῖς νομίμως κατέθετο [5]), ἐπὶ τούτῳ μόνῳ προσκληθέντες, δηλονότι ἐὰν ὦσι πέντε τὸν ἀριθμόν [6]).

δ'. Ὅτε οἱ μάρτυρες ἢ ἑαυτοῖς ἐναντιοῦνται ἢ ἄλλοις μάρτυσιν, ἢ πλαστῶς μαρτυροῦσι, τότε δεχέσθω ὁ δικαστὴς τοὺς ἐξ αὐτῶν ἀξιοπιστοτέρους, καὶ κολαζέτω τοὺς ὑπόπτους, εἴπερ ἐξεπίτηδες φανεῖεν κακουργοῦντες [7]).

ε'. Δυνατὸν καὶ ἀπὸ πόλεως εἰς πόλιν ἐκ διαλαλιᾶς δικαστικῆς [8]) στεῖλαι τὰς μαρτυρίας [9]), πραττομένων μέντοιγε [10]) κατὰ νόμους ἐν μὲν ταῖς ἐπαρχίαις

lutioni interfuisse aut creditorem coram se legitime confessum fuisse: ad hoc solum vocati, scilicet si quinque fuerint numero.

4. Quando testes aut sibi adversantur aut aliis testibus, aut falso testantur, judex ex iis fide digniores deligat, et suspectos puniat, si consulto malitiose agere videantur.

5. Potest et ex urbe in urbem judex per interlocutionem testimonia mittere: dummodo secundum leges

5) R: ἐπ' αὐτῆς νομ. κατέθεντο. Bodl. 3399: κατέθεντο. Quod, nisi C et L lectionem κατέθετο tuerentur, facile praetulerim, hoc sensu: »dicant — aut se illis (sc. mutui instrumentis) rite testimonium praebuisse ad hoc solum vocatos« etc.

6) Nov. 90 cap. 2. — Harm. §. 2.

7) P: κεφ. ς'. — Nov. 90 cap. 3. — Harm. §. 3. — R post hanc § tres addit alias; scilicet: Ὀμνυέτωσαν πρὸ τῆς μαρτυρίας οἱ μάρτυρες, καὶ μάλιστα οἱ τιμιώτεροι προσδεχέσθωσαν. εἷς δὲ μόνος μαρτυρῶν ἐκβαλέσθω, κἂν τύχῃ ὢν βουλευτής [Cod. IV, 20, 9.] — Οἱ μάρτυρες ἀκοῇ μὴ προσμαρτυρείτωσαν, λέγοντες ὡς ἠκούσαμεν ἔκ τινος τόνδε χρεωστεῖν ἢ τόνδε καταβάλλεσθαι, κἂν ταβουλλάριοι ὦσιν οἱ ταῦτα μαρτυροῦντες. [Nov. 90 cap. 2.] — Οἱ μάρτυρες ἢ ἀξίαν ἢ στρατείαν ἢ ἐπιτήδευμα ἢ εὐπορίαν ἔχοντες κατὰ πρόληψιν δεκτέοι τυγχάνουσιν. εἰ δὲ εὑρεθῶσι μάρτυρες ἄγνωστοι, καὶ ἀμφισβητεῖται τὰ τῆς αὐτῶν μαρτυρίας, κανονιζέτωσαν οἱ δικασταὶ καὶ διὰ βασάνων ἐρχέσθωσαν πρὸς αὐτούς, ὅπως τὴν τῆς ἀληθείας κατάληψιν εὕρωσιν. [Nov. 90 cap. 1.]

8) R: δικαστοῦ.

9) R: τοὺς μάρτυρας.

10) C: μέντοι.

παρὰ τῷ ἄρχοντι, ἐν δὲ τῇ κωνσταντινουπόλει παρὰ τοῖς θείοις δικασταῖς [11]).

ϛ'. Ἐπὶ τῶν ἐγκληματικῶν ἀνάγκη πάντως παραχθῆναι τοὺς μάρτυρας, καὶ μὴ τὰς φωνὰς αὐτῶν [12]).

ζ'. Ἐπὶ τῶν μαρτύρων ζητεῖται ἡ ἀξία καὶ ἡ πίστις καὶ τὰ ἤθη καὶ ἡ στεῤῥότης. διόπερ οὐκ ἀκούονται οἱ ἐναντιούμενοι τοῖς ἐν ἐκμαρτυρίῳ ὑφ' ἑαυτῶν εἰρημένοις [13]).

η'. Ἐπὶ ἑκάστου μάρτυρος ὀφείλει ζητεῖσθαι, πότερον τίμιος καὶ ἄμεμπτός ἐστιν, ἢ ἄτιμος ἢ ἐπίψογος: εὔπορος, ἢ [14]) ἐνδεὴς, ὥστε διὰ κέρδος τὶ πλημμελῆσαι· φίλος τοῦ παρόντος [15]), ἢ ἐχθρὸς τοῦ καθ' οὗ παρέρχεται. ὅταν γὰρ ὑποψίας ἐστέρηται, μαρτυρεῖ. τὰ δὲ περὶ τούτου διακρίνει ὁ δικαστὴς, εἰ μίαν μεμελετημένην ὁμιλίαν προφέρουσι, καὶ εἰ πρὸς τὰς πεύσεις πιθανῶς ἀποκρίνονται, καὶ ποῖα τεκμήρια ὀφείλει προσδέχεσθαι [16]).

apud acta fiant, in provinciis quidem apud praesidem, Constantinopoli autem apud sacros judices.

6. In criminalibus causis omnino necesse est, ut testes producantur, non eorum voces.

7. In testibus spectatur dignitas et fides et mores et gravitas: ideoque non audiuntur, qui dictis a se in testimonio adversantur.

8. In quolibet teste quaerendum est, utrum honestus et inculpatus sit, an inhonestus ac vituperabilis: locuples, an egenus, ut lucri causa quid admittat: amicus praesentis, an inimicus ejus, contra quem prodit. Si enim suspicione caret, testimonium dicit. Haec autem judex dijudicat, an unum eundemque meditatum sermonem afferant, et num ad interrogata verosimiliter respondeant, et quaenam argumenta admittenda sint.

11) Nov. 90 cap. 5. — Harm. §. 6. §. 4.

12) P: κεφ. ι'. — Nov. 90 cap. 5. — Harm. §. 5.

13) P: βι. κβ' τί. [ε'] διγ. β'. — Dig. XXII, 5, 2. — Harm. §. 6.

14) B: ἢ ἄπορος καὶ ἐνδ.

15) Basil. et Harm.: παράγοντος.

16) P: θέ. β'. — Dig. eod. dig. 3 pr. — Harm. §. 7.

ϑʹ. Τοῖς [17]) *μάρτυσι καὶ οὐ τοῖς ἐκμαρτυρίοις πιστευτέον· αὐτοπροσώπως γὰρ ἐρωτῶνται παρὰ τῶν δικαστῶν ἐπὶ τῶν ἐγκλημάτων, καὶ ὁ μὴ δεικνὺς τὸ παρ' αὐτοῦ προτεθὲν ἐξορίζεται* [18]).

ιʹ. *Ἄλλη ἐστὶν ἡ αὐθεντία τῶν παρόντων μαρτύρων καὶ ἄλλη ἡ τῶν ἀναγινωσκομένων ἐκμαρτυρίων. ὁ οὖν θέλων ἐπισχεῖν τοὺς μάρτυρας δαπάνας αὐτοῖς διδότω* [19]).

ιαʹ. *Πατὴρ καὶ υἱὸς ὑπεξούσιος καὶ δύο ἀδελφοὶ συνυπεξούσιοι δύνανται μαρτυρεῖν ἐν τῷ* [20]) *πράγματι. οὐδὲν* [21]) *γὰρ βλάπτει ἐξ ἑνὸς οἴκου πολλοὺς ἐν ἀλλοτρίῳ πράγματι μαρτυρεῖν* [22]).

ιβʹ. *Ἐὰν τοιοῦτόν ἐστι τὸ πρᾶγμα, ὥστε δέξασθαι μαρτυροῦντα κυνηγὸν ἢ τοὺς τοιούτους* [23]), *χωρὶς βασάνων οὐ πιστεύεται* [24]).

ιγʹ. *Ἐὰν πάντες οἱ μάρτυρες* [25]) *τῆς αὐτῆς τιμῆς καὶ ὑπολήψεως ὦσι* [26]) *καὶ ἐναντιωθῶσιν ἀλλήλοις, οὐ*

9. Testibus, non testimoniis credendum. Coram scilicet interrogantur a judicibus in criminibus, et qui non probat quod proposuit, relegatur.

10. Alia est auctoritas testium praesentium, et alia testimoniorum quae recitantur. Qui ergo testes retinere vult, sumtus iis exhibeat.

11. Pater et filius sub ejus potestate constitutus et duo fratres, qui sub ejusdem potestate sunt, in eodem negotio testari possunt: nihil enim nocet ex una domo in alieno negotio plures adhiberi testes.

12. Si talis est causa, ut et arenarium admittat testem aut personas similes, sine tormentis fides non habetur.

13. Si omnes testes ejusdem sint honestatis atque existimationis et sibi invicem fuerint contrarii, non sem-

17) L addit: *γάρ*.

18) P: *θέ. δʹ.* — Dig. h. t. dig. 3 §. 3. — Harm. §. 14.

19) Dig. eod. dig. 3 §. 4. — Harm. §. 16.

20) In B deest.

21) B: *οὐδέ*.

22) Dig. eod. dig. 17. — Harm. §. 18.

23) B: *ὁμοίως*.

24) P: *διγ. καʹ.* — Dig. h. t. dig. 21 §. 2. — Harm. §. 19.

25) B: *μαρτυροῦντες*.

26) B: *εἰσί*.

πάντως τὸ μεῖζον μέρος πιστεύεται, ἀλλὰ τὸ συμβαῖνον τῇ φύσει τοῦ πράγματος, καὶ ὑπονοίας ἐχθρᾶς ἢ φιλίας ἐστερημένον, καὶ βεβαιούμενον ἀπὸ τῆς ψυχῆς τοῦ δικαστοῦ καὶ τεκμηρίων. οὔτε γὰρ τῷ πλήθει δεῖ πιστεύειν, ἀλλὰ τῇ πίστει καὶ [27]) ἀκεραιότητι τῶν μαρτύρων [28]).

ιδ'. Ἕκαστος ἐνάγων ὀφείλει περιποιεῖν ἑαυτῷ τὴν νίκην ἐκ τῶν προσόντων αὐτῷ [29]). οἷον· εἰ φαίνεται [30]) τόνδε τὸν ἀγρὸν εἶναι τῆς ἐμῆς δεσποτείας. οὐ μὴν ὀφείλει κινῶν [31]) λέγειν· εἰ φαίνεται τόνδε τὸν ἀγρὸν μὴ εἶναι τῆς τοῦ ἀντιδίκου δεσποτείας. εἰ γὰρ οὕτω εἰσέλθῃ κινῶν, ἐρεῖ αὐτῷ ὁ ἀντίδικος· πρῶτον [32]) ἐμός ἐστιν ὁ ἀγρός· εἰ δὲ οὐκ ἔστιν ἐμὸς, ὡς σὺ λέγεις, οὐ παρὰ τοῦτο σὸς, ἀλλὰ ἄλλου ἐστίν· οὐ γὰρ πάντως τὸ μὴ ἐμὸν ἤδη σόν ἐστιν· εἰ δὲ μήτε ἐμὸς μήτε σός ἐστιν ὁ ἀγρὸς, ὀφείλω σὲ νικᾶν ἐν τῷ παρόντι δικαστηρίῳ διὰ τὸν κανόνα τὸν λέγοντα· ἐν ἴσῃ αἰτίᾳ κρείσσων ἡ αἵρεσις τοῦ νεμομένου [33]).

per majori parti creditur, sed quod naturae rei convenit, ac suspicione odii aut amicitiae caret, et conscientia judicis atque argumentis confirmatur. Nec enim multitudini est credendum, sed fidei et sinceritati testium.

14. Quilibet actor victoriam sibi comparare debet ex iis, quae ei competunt. Veluti: si paret, huncce agrum mei esse dominii; non autem dicere debet: si paret, huncce agrum in dominio adversarii non esse. Nam si sic intendat actor, dicet illi adversarius: primo meus est ager; quod si meus non est, ut tu ais, non ideo tuus, sed alterius est: non enim semper quod meum non est, continuo tuum est; si vero neque meus neque tuus est ager, vincere te debeo in praesenti judicio, secundum regulam dicentem: in pari causa potior est possidentis conditio.

27) B: καὶ τῇ.
28) P: θέ δ'. — Dig. eod. §. 3. — Harm. §. 20.
29) B addit: δικαίων.
30) B: ἐμφαίνεται.
31) R: κοινόν.
32) B addit: μέν.
33) Ex Theophilo IV, 6, 2 ad verbum haec sunt exscripta. — Harm. I, 2, 45.

ιε'. Ὁ προάγων [34]) μάρτυρας ἔν τινι δίκῃ, ἐὰν ὕστερον ἐν ἑτέρᾳ δίκῃ κατ' αὐτοῦ προφέροιντο, μὴ ἐχέτω ἐξουσίαν παραιτήσασθαι αὐτοὺς τυχὸν ὡς εὐτελεῖς ἤ τι τοιοῦτον. εἰ μέντοιγε δείκνυσιν ἐν τῷ μεταξὺ ἢ ἔχθραν γεγενημένην [35]) αὐτῷ δεκτὴν τοῖς νόμοις καὶ ποιοῦσαν ὑπόπτους τοὺς μάρτυρας, ἢ πολλάκις ἐλεγχθῇ [36]) φανερῶς ἐπὶ λήμματι [37]) γενομένην τὴν μαρτυρίαν, ἐξέστω αὐτῷ παραιτεῖσθαι τοὺς μάρτυρας. εἰ δὲ καὶ δύναται ψευδῆ τὰ παρ' αὐτῶν λεγόμενα δεῖξαι, καὶ τοῦτο ποιείτω [38]).

ιϛ'. Ὁ τρίτον παραγαγὼν μάρτυρας οὐκέτι προφέρει μετὰ τὴν ἔκδοσιν τῶν παραγραφῶν. ἐὰν δὲ μὴ ἐξέλαβε, μήτε ἐνέτυχε δι' ἑαυτοῦ ἢ διὰ τοῦ ἰδίου συνηγόρου ταῖς μαρτυρίαις, τότε δύναται πρὸ ἐκδόσεως τῶν παραγραφῶν καὶ τετάρτην μαρτυρίαν προσάγειν [39]), ὀμνύων ὅτι οὐ κατὰ δόλον ζητεῖ τὴν τῶν μαρτύρων παραγωγήν [40]).

15. Qui testes in aliqua causa producit, si postea in alia lite contra eum citentur, licentiam non habeat eos recusandi veluti tanquam viles aut tale quid. Quodsi probet, inimicitias esse interim ortas, quae et legibus admittuntur et testes suspectos reddunt: aut si forte manifesto convicerit, testimonium auro fuisse emtum, liceat ei hos testes rejicere. Insuper si ab iis dicta falsitatis arguere potest, et hoc faciat.

16. Qui tertium testes producit post exceptiones editas haud amplius profert. Si autem non excepit, neque ipse per se aut per advocatum suum testimoniis interfuit, tunc ante editionem exceptionum et quartum testimonia producere potest, jurans se sine dolo testium productionem petere.

34) B: προσάγων.
35) B: γενομένην.
36) C: ἐλέχθη.
37) C: ἐγκλήματι. L verba ἢ πολλάκις — μάρτυρας non habet.
38) Cod. IV, 20, 17. — Harm. I, 6, 24.
39) B: προσαγαγεῖν.
40) B: προσαγωγήν. — Est ex Nov. 90 cap. 4 secundum Athanasii Scholastici recensionem. Vide Basil. Fabrot. II p. 585. — Harm. §. 25.

ιζ'. Εἴκοσι μίλια καθ' ἡμέραν λογίζεται τῷ ὀφείλοντι παραστῆναι, ὑπεξῃρημένης τῆς ἡμέρας, καθ' ἣν ὡμολόγησε καὶ καθ' ἣν αὐτὸν δεῖ [41]) παραστῆναι [42]).

ιη'. Τὰς ματαίους [43]) καὶ ἐκ τοῦ παρήκοντος γινομένας [44]) μαρτυρίας μηδενὶ παντάπασι λόγῳ κρατεῖν βουλόμεθα, καὶ τοιαύτας τινὰς πλάττειν μαρτυρίας ὡς δι' ἄλλην τινὰ χρείαν παρατυχὼν ἀκούσοι τοῦδε λέγοντος εἰληφέναι παρὰ τοῦδε χρυσίον ἢ ὀφείλειν τόδε. αὗται γὰρ σαφῶς ὕποπτοι καθεστᾶσι [45]) καὶ οὐδενὸς ἄξιαι [46]) λόγου [47]).

ιθ'. Ὁ ἅπαξ ἢ δὶς παραγαγὼν μάρτυρας ἐὰν ἀποτάξηται καὶ διασκέψηται διὰ τῆς ἐκδόσεως τῶν παραγραφῶν τῶν μαρτύρων καὶ μάθῃ τὰς μαρτυρίας, οὐ δύναται οὐδὲ διὰ βασιλικῆς ἀντιγραφῆς ἄλλους παραγαγεῖν μάρτυρας [48]).

κ'. Ὁ ἐγκληματικῶς τινὸς κατηγορήσας οὐ δύνα-

17. Viginti millia in singulos dies numerantur ei, qui judicio se sistere debet, exemto die quo promisit et quo ipsum se sistere oportet.

18. Vana et a praetereunte sumta testimonia nulla omnino ratione valere jubemus, aut hujusmodi aliqua fingere testimonia, quod alia quadam de causa interveniens hunc audierit dicentem, se accepisse ab illo argentum aut ei debere. Haec enim nobis plane suspecta sunt et nihilo digna.

19. Qui semel aut bis produxit testes, si renuntiaverit atque editionem exceptionum contra testes examinaverit et testimonia cognoverit, is neque per rescriptum principis alios adducere potest testes.

20. Qui quem criminaliter accusavit, adversus eum

41) B: δοκεῖ.
42) Dig. II, 11, 1. — Harm. I, 2, 46.
43) B: ματαίας.
44) L: γενομένας. In B omnino deest.
45) B: καθεστήκασι.
46) C: ἄξιοι.
47) Nov. 90 c. 2. — Harm. I, 6, 26.
48) Nov. 90 cap. 4 ex recensione Athanasii, nisi fallor. Cf. Basil. Fabrot. II pag. 586. — Harm. §. 28.

ται μαρτυρεῖν κατ' αὐτοῦ. ὁ γὰρ χρηματικῶς τινα αἰτιασάμενος οὐ κωλύεται μὲν μαρτυρεῖν κατ' αὐτοῦ· πλὴν ὑπούσης εὐλόγου αἰτίας κωλύεται [49]).

κα'. Ὁ μεσάσας τισὶν ἐν πράγματι οὐ μαρτυρεῖ αὐτοῖς ἐν τῇ αὐτῇ ὑποθέσει, δηλονότι παρὰ ἄλλῳ δικαστῇ, εἰ μὴ ἄρα συναινέσωσι τὰ δύο μέρη τῇ μαρτυρίᾳ [50]) αὐτοῦ [51]).

κβ'. Οἱ πένητες οὐ μαρτυροῦσιν. πένης δέ ἐστιν ὁ μὴ ἔχων πεντήκοντα νομισμάτων περιουσίαν [52]).

κγ'. Οὐ μαρτυρεῖ ἀπελεύθερος κατὰ πάτρωνος ἢ παιδὸς αὐτοῦ [53]).

κδ'. Οὐ μαρτυρεῖ ὁ ἧττον τῶν εἴκοσιν [54]) ἐτῶν, οὔτε ὁ ἐν δημοσίῳ δικαστηρίῳ καταδικασθεὶς καὶ μὴ ἀποκαταστὰς, ἢ ἐν δεσμοῖς ἢ ἐν δημοσίᾳ φρουρᾷ βληθεὶς, οὔτε ὁ ἐλεγχθεὶς λαβεῖν χρήματα ἐπὶ τὸ μαρτυρῆσαι ἢ μὴ μαρτυρῆσαι [55]).

testari nequit. Si quis autem civiliter quem in judicium vocavit, non quidem prohibetur adversus eum testari: sed si justa causa subsit, prohibetur.

21. Qui arbiter inter aliquos de certa causa fuit, in eadem causa testari nequit, nimirum apud alium judicem, nisi utraque forte pars in testimonium ejus consentiat.

22. Pauperes testes non fiunt. Pauper autem est, qui quinquaginta aureorum patrimonium non habet.

23. Libertus contra patronum aut liberos ejus non testatur.

24. Testis esse nequit minor viginti annis, neque judicio publico condemnatus nec restitutus, aut in vincula vel carcerem conjectus, neque convictus accepisse pecuniam ob testimonium dicendum aut non dicendum.

49) Nov. 90 c. 7. — Harm. 31.

50) C: τῆς μαρτυρίας. R: ἐν τῇ μαρτυρίᾳ.

51) Nov. 90 c. 8. — Harm. §. 32.

52) Dig. XLVIII, 2, 10. — Harm. §. 33.

53) Dig. XXII, 5, 4. — Harm. §. 34.

54) B: εἴκοσι πέντε.

55) Dig. h. t. dig. 3 §. 5. — Harm. §. 36.

κε'. Οὐκ ἔστιν ἀξιόπιστος μάρτυς ὁ κελεύεσθαι δυνάμενος ἐπὶ τὸ [56]) μαρτυρῆσαι [57]).

κς'. Ὁ καταδικασθεὶς περὶ μοιχείας [58]) οὐ μαρτυρεῖ [59]).

κζ'. Υἱὸς πατρὶ ἢ πατὴρ υἱῷ οὐ μαρτυρεῖ, οὔτε οἱοσδήποτε ἐν ἰδίῳ πράγματι [60]).

κη'. Δοῦλος οὐ μαρτυρεῖ [61]).

κθ'. Ὁ κατά τινος ἤδη μαρτυρήσας οὐ μαρτυρεῖ πάλιν κατ' αὐτοῦ [62]).

λ'. Ὁ συνηγορήσας ἢ ἐκβιβάσας [63]) ἐν ὑποθέσει οὐ μαρτυρεῖ ἐν αὐτῇ [64]).

λα'. Οὐδεὶς ἀπαιτεῖται καθ' ἑαυτοῦ μάρτυρας παραγαγεῖν [65]). ἀλλὰ χρὴ τὸν ἐνάγοντα ὡς βούλεται συστῆσαι τὰς ἰδίας δικαιολογίας [66]).

λβ'. Κωλύεται ἐν διαθήκῃ μαρτυρεῖν ὁ ἐν διαθήκῃ τινὸς ὑπογράψας καὶ μὴ ἀνασχόμενος μαρτυρῆσαι, ὅς

25. Non est testis fide dignus, cui imperari potest, ut testis fiat.

26. Adulterii condemnatus testis esse non potest.

27. Filius patri aut pater filio testis fieri nequit, nec quisquam in propria causa.

28. Servus ad testimonium non admittitur.

29. Qui semel contra aliquem testimonium dixit, haud potest rursus contra eum testari.

30. Qui in causa aliqua advocatus aut executor fuit, in eadem non testatur.

31. Nemo contra se testes producere cogitur: sed actorem oportet, prout vult, suas probare allegationes.

32. Prohibetur testis esse in testamento, qui testamento alicujus subscripserit, nec tamen testimonium ferre

56) B: τῷ.

57) Dig. h. t. dig. 6. — Harm. §. 37.

58) B: ἐπὶ μοιχείᾳ.

59) Dig. h. t. dig. 14. — Harm §. 38.

60) Dig. h. t. dig. 9. 10. — Harm. §. 40.

61) Nov. 90 c. 6. — Harm. §. 41.

62) Dig. h. t. dig. 23. — Harm. §. 45.

63) B: ἐκβιάσας.

64) Dig. h. t. dig. 25. — Harm. §. 46.

65) B: ἀγαγεῖν.

66) Cod. IV, 20, 7. — Harm. §. 47.

οὐδὲ ἀναγκάζεται παρὰ τοῦ νόμου μαρτυρῆσαι. κωλύεται δὲ [67]) *ἐν ἑτέρᾳ διαθήκῃ μαρτυρῆσαι, ἀλλὰ καὶ διαθέσθαι, καὶ ἐξ ἑτέρας διαθήκης κερδᾶναι* [68]).

λγ'. Κωλύεται *μαρτυρεῖν ἄνηβος, οἰκέτης, κωφὸς, ἄλαλος, μαινόμενος, ἄσωτος, υἱὸς ὑπεξούσιος, ὅτε ὁ πατὴρ αὐτοῦ παρ' ἄλλου γραφῇ κληρονόμος* [69]).

λδ'. Καὶ *ὁ συνυπεξούσιος ὑπὲρ τοῦ γραφέντος ἐν διαθήκῃ κληρονόμου* [70]).

λε'. Καὶ *ὁ συνυπεξούσιος διατιθεμένου τοῦ ὑπεξουσίου εἰς ἰδιόκτητα αὐτοῦ πράγματα* [71]).

λς'. *Ἐάν τις ἑνὸς ἀνθρώπου κατάθεσιν ἐν ἐκσφραγίσματι προσφέρῃ, οὐκ ἐστὶ* [72]) *δεκτὴ ἡ τοιαύτη μαρτυρία* [73]).

sustinuerit: qui ne lege quidem testis esse cogitur: at in alio testamento testimonium ferre prohibetur, quin etiam testamentum facere et ex alieno testamento quid accipere.

33. Testis esse prohibetur impubes, servus, surdus, mutus, furiosus, prodigus, filiusfamilias, quando ejus pater ab alio heres scribitur.

34. Et qui in ejusdem patris potestate est pro eo, qui in testamento heres scribitur.

35. Et qui in eadem cum filiofamilias potestate est, quando is de peculio castrensi vel quasi testamentum facit.

36. Si quis unius hominis depositionem in signaculo proferat, tale testimonium haud admittendum est.

67) B addit: *καί*.

68) P: *Ἰνστιτ. β' τί. . .* — Theophil. Instit. II, 10, 6. — Harm. §. 49.

69) Theophil. l. l. — Harm. §. 51.

70) Haec §. abest a C et R. — Theoph. l. l. — Harm. §. 52.

71) Theophil. l. l. — Harm. §. 53. — Caeterum hanc § M non habet.

72) C: *οὐκέτι*.

73) Vide notas ad Harmen. §. 55 in edit. Reitzii.

ΤΙΤΛΟΣ ἘΙΚΟΣΤΟΣ ὈΓΔΟΟΣ.

Περὶ χειροτονίας ἐπισκόπων καὶ πρεσβυτέρων.

α΄. Οἱ κληρικοὶ καὶ οἱ πρῶτοι τῆς πόλεως προκειμένων τῶν ἁγίων εὐαγγελίων ἐπὶ [1]) τρισὶ προσώποις τὸ ψήφισμα ποιείτωσαν τῶν ἐπισκόπων, ὀμνύοντες [2]) ὡς οὐ διὰ δόσιν, οὐδὲ [3]) δι' ἄλλην τινὰ προσπάθειαν ἐπελέξαντο αὐτοὺς, ἀλλ' ὡς εἰδότες αὐτοὺς ὄντας τῆς καθολικῆς ἐκκλησίας καὶ σεμνοῦ βίου καὶ ὑπὲρ τὰ τριάκοντα ἔτη, καὶ ὡς οὔτε γαμετὴν οὔτε παῖδας ἔσχον, ἀλλ' ὅτι καὶ εἰ ἔσχον γαμετὴν, μίαν μόνον [4]) ἐκ παρθενίας οἴδασι, καὶ οὐ χήραν οὐδὲ διαζευχθεῖσαν ἀνδρὸς, ἀλλὰ καὶ τοῖς κανόσιν ἢ τοῖς νόμοις μὴ ἀπηγορευμένην [6]).

β΄. Ὁ χειροτονούμενος ἐπίσκοπος λίβελλον πρῶτον διδότω τῆς ἰδίας πίστεως, καὶ ἀπαγγελλέτω τὰς εὐχὰς, καὶ ὀμνυέτω μηδὲν δοῦναι μήτε μὴν ἐπαγγέλλε-

TITULUS VICESIMUS OCTAVUS.

De ordinatione episcoporum et presbyterorum.

1. Clerici et primi civitatis praepositis sanctis evangeliis in tribus personis suffragia ferant de episcopis, jurantes se neque ob donum aut aliam affectionem eos elegisse, sed quod scirent, eos esse catholicae ecclesiae et honestae vitae, annisque triginta majores, neque aut uxorem aut liberos habuisse, vel etiam si uxorem habuerint, unam tantum a virginitate eos novisse, nec viduam aut a marito separatam, neque canonibus aut legibus prohibitam.

2. Ordinandus episcopus primum libellum suae fidei exhibeat, precesque adnuntiet, et juret se nihil dedisse aut cuiquam promisisse daturum pro electione,

1) B: ἐπὶ τοῖς.
2) B: ὀμνυόντων.
3) C: οὐ.
4) B: μόνην.
5) C: ἤτοι.
6) P: Νεαρὰ ρλζ΄ κεφ. α΄. — Nov. 137 cap. 2. — Harm. Append. tit. 4 §. 1.

σθαι [7]) *παρασχεῖν τινι ὑπὲρ τῆς χειροτονίας. ἐὰν δέ τι παρὰ τὰ εἰρημένα γένηται, τότε καὶ ὁ γινόμενος ἐπίσκοπος καὶ ὁ χειροτονήσας αὐτὸν τῆς ἐκκλησίας ἐκβάλλονται* [8]).

γ΄. Ἐὰν κατηγορηθῇ ὁ μέλλων χειροτονεῖσθαι ὡς ἀνεπιτήδειος, ἀναβαλλέσθω τέως ἡ χειροτονία, καὶ προβαινέτω ἡ ἐξέτασις παρόντος τοῦ ἀντιδίκου ἢ [9]) *ἀπόντος ἐντὸς τριῶν μηνῶν, καὶ κωλυέσθω ἡ χειροτονία. καὶ εἰ εὑρεθῇ ὁ χειροτονούμενος ὑπαίτιος κατὰ νόμους ἢ κανόνας, κωλυέσθω· εἰ γὰρ ἀνεύθυνος εὑρεθῇ, χειροτονεῖται. εἰ δὲ χειροτονηθῇ παρὰ τὰ εἰρημένα, καὶ αὐτὸς καὶ ὁ χειροτονῶν αὐτὸν τῆς ἐκκλησίας ἐκβάλλονται* [10]).

δ΄. Ἐὰν δὲ ὁ κατήγορος παρὼν μὴ δείξῃ ἃ διεβεβαιώσατο ἢ ἀπολειφθῇ, εἰ μὲν κληρικός ἐστι, τῆς ἐκκλησίας ἐκβάλλεται, εἰ δὲ λαϊκὸς εἴη, δεόντως σωφρονίζεται [11]).

Si quid autem praeter dicta factum fuerit, tunc et episcopus designatus et qui eum designavit ecclesia ejiciuntur.

3. Si ordinandus accusatus fuerit tanquam non idoneus, ordinatio interim differatur, et inquisitio procedat praesente adversario vel absente intra tres menses, atque ordinatio inhibeatur. Et si ordinandus inveniatur culposus secundum leges aut canones, prohibeatur: si insons reperiatur, ordinatur. Quodsi praeter dicta ordinatus fuerit, et ipse et qui eum ordinavit ecclesia ejiciuntur.

4. Sed si accusator praesens non probet quae affirmavit, aut absit, siquidem clericus sit, ecclesia ejicitur, si vero laicus, competenter castigatur.

7) B: *ἐπαγγείλασθαι.*
8) Nov. cit. — Harm. eod. §. 2.
9) B: *ἢ καί.*
10) Nov. laud. cap. 3. — Harm. eod. §. 3.
11) Nov. et Harm. ll. cc.

ΤΙΤΛΟΣ ʼΕΙΚΟΣΤΟΣ ʼΕΝΝΑΤΟΣ.

Περὶ κωδικέλλου [1]).

α'. Κωδίκελλός ἐστιν ἐλλιποῦς ἐν διαθήκῃ γνώμης τοῦ διατιθεμένου ἀναπλήρωσις [2]).

β'. Διαφορὰ δὲ κωδικέλλου καὶ διαθήκης, ὅτι ἐν μὲν τῇ διαθήκῃ καὶ κληρονόμον καὶ ἀποκληρονόμον ἔξεστι γράφειν, καὶ ληγάτα καὶ ἐλευθερίας, καὶ ἔνστατον καὶ ὑποκατάστατον, ἐν δὲ τῷ κωδικέλλῳ οὔτε κληρονόμον οὔτε ἀποκληρονόμον, οὔτε ἔνστατον οὔτε ὑποκατάστατον.

γ'. Ἔνστασίς ἐστιν ἡ πρώτη θέσις τῆς κληρονομίας, τουτέστιν ὁ φύσει πρῶτος βαθμὸς τῶν κληρονόμων.

δ'. Ὑποκατάστασις δέ ἐστιν ἡ ἐξ ἀποτυχίας τοῦ πρώτου κληρονόμου ἐπὶ ἕτερον τῆς κληρονομίας μετάθεσις ἐκ διορισμοῦ τοῦ κληροδοτοῦντος. οἷον ὡς εἴ τις εἴποι· ἔστω μοι ὁ δεῖνα κληρονόμος. εἰ δὲ μή, ἔστω ὁ δεῖνα.

TITULUS VICESIMUS NONUS.

De codicillo.

1. Codicillus est deficientis in testamento voluntatis testatoris suppletio.

2. Differentia testamenti et codicilli est, quod testamento et heredem et exheredem scribere licet, et legata et libertates, et institutum et substitutum: in codicillo neque heredem neque exheredem, neque institutum neque substitutum.

3. Institutio est prima hereditatis propositio, id est primus natura gradus heredum.

4. Substitutio autem est ob primi heredis defectum hereditatis ad alium translatio ex praescriptione testatoris; veluti si quis dicat: Ille mihi heres esto. Si non, ille esto.

1) Hic titulus est apud Harmen. V, 7, 3.

2) P: Ἰνστιτ. β'. — Theophil. II, 25 pr. Eidem Theophilo l. c. §. 2 etiam reliqua hujus tituli capita deberi videntur.

ΤΙΤΛΟΣ ΤΡΙΑΚΟΣΤΟΣ.

Περὶ κληρονόμων.

α'. Οἱ κληρονόμοι ἢ ἔνστατοι ἢ ὑποκατάστατοι λέγονται. ἡ δὲ ὑποκατάστασις ἢ ἁπλή ἐστιν, ὡς τὸ εἰπεῖν· ἐὰν μὴ κληρονομήσῃ ὁ δεῖνα, ἔστω ὁ δεῖνα κληρονόμος. ἢ διπλῆ, οἷον· εἴτε κληρονομήσας εἴτε μὴ κληρονομήσας ὁ δεῖνα ἄνηβος ἀποθάνῃ, ἔστω κληρονόμος ὁ δεῖνα [1]).

β'. Οἱ κατιόντες, κἂν ἄῤῥενες κἂν θήλειαι ὦσι, προτιμῶνται τῶν ἀνιόντων καὶ τῶν ἐκ πλαγίου [2]).

γ'. Ἐὰν εἷς τῶν παίδων κληρονομήσῃ τοῦ ἰδίου γονέως, προσπορίζει τῷ ἑαυτοῦ πάππῳ τὴν χρῆσιν τῶν προσπορισθέντων [3]).

TITULUS TRICESIMUS.

De heredibus.

1. Heredes aut instituti aut substituti dicuntur. Substitutio autem vel simplex est, ut si dicamus: si ille heres non erit, ille heres esto; vel duplex, veluti: sive ille heres erit sive non erit, si impubes moriatur, ille heres esto.

2. Descendentes, sive mares sive feminae sint, praeferuntur ascendentibus et ex latere venientibus.

3. Si quis liberorum suo parenti heres extiterit, usumfructum acquisitorum avo suo acquirit.

1) Dig. XXVIII, 6, 1. — Harm. V, 8, 1.

2) P: νεαρὰ ριη' κεφ. α'. — Est summa Nov. 118 cap. 1 a Theodoro confecta. Basil. Fabrot. VI p. 102. — Harm. l. l. §. 5.

3) P: κεφ. β'. — Hic locus multis difficultatibus laborat. Est summa Theodori secunda, ex cap. 1 Nov. 118 desumta, quae plenior extat inter scholia Basilicorum in edit. Fabrot. VI p. 102. Ibi tamen legitur: τὸν οὐσούφρουκτον τῶν ἀπροσπορίστων. Similis lectionis varietas in Juliani epitome hujus Novellae occurrit, aliis legentibus: *quae acquisitionem efficiunt*, aliis autem: *quae acquisitionem effugiunt*. — Apud Harmenopulum l. l. est: τῶν πορισθέντων, in Cod. Bodlej. 3399: τὸν οὐσούφρουκτον τουτέστι τὴν χρῆσιν πρὸς τὴν χρῆσιν τῶν προσπορισθέντων.

δ'. Ἐὰν ὁ πάππος τελευτήσῃ ἐπὶ υἱῷ καὶ ἐγγόνοις ἀπὸ ἄλλου παιδὸς, οἱ ἔγγονοι ὑπεισέρχονται τὸ πρόσωπον τοῦ ἰδίου γονέως, καὶ ἅμα τῷ υἱῷ, τουτέστι τῷ ἰδίῳ θείῳ, κληρονομοῦσιν αὐτὸν, λαμβάνοντες εἴ τι ἤμελλε λαμβάνειν, εἰ περιῆν, ὁ πατὴρ αὐτῶν, κἂν ἄῤῥενες κἂν θήλειαι ὦσιν, εἴτε ὑπεξούσιοί εἰσιν εἴτε αὐτεξούσιοι [4]).

ε'. Κατιόντων μὴ ὑπόντων προκαλοῦνται οἱ ἀνιόντες τῶν ἐκ πλαγίου πάντων χωρὶς τῶν ἐκ τῶν αὐτῶν γονέων φύντων ἀδελφῶν. ἰστέον δὲ, ὅτι ἐπὶ τῶν ἀνιόντων προτιμᾶται ὁ ἐγγύτερος τῷ βαθμῷ τοῦ μὴ πλησιάζοντος, κἂν θῆλυ πρόσωπον εἴη. εἰ γάρ εἰσι πάντες τοῦ αὐτοῦ βαθμοῦ, ὁμοῦ καλοῦνται εἰς τὴν κληρονομίαν [5]).

ς'. Οἱ ἀμφιθαλεῖς ἀδελφοὶ καὶ ἀδελφαὶ καὶ ἀνιόντες ὁμοῦ καλοῦνται ἐξίσης. καὶ οὐδὲ προσπορίζουσι τοῖς γονεῦσιν αὐτῶν οἱ ἀδελφοὶ τὴν χρῆσιν τοῦ ἁρμό-

4. Si avus moriatur relicto filio et ex alio nepotibus, nepotes sui parentis personam repraesentant, et simul cum filio, i. e. proprio patruo, illi heredes fiunt, capientes quidquid eorum pater, si superesset, percepturus erat, sive masculi sive feminae sint, sive in potestate sive emancipati.

5. Descendentibus non extantibus vocantur ascendentes prae omnibus ex latere cognatis praeter fratres ex iisdem parentibus natos. Sciendum vero, in ascendentibus proximiorem gradu praeferri ei, qui non aeque propinquus est, etiamsi femina sit. Quod, si omnes ejusdem gradus sunt, simul vocantur ad hereditatem.

6. Germani fratres ac sorores et ascendentes simul vocantur in aequales portiones: nec fratres portionis ex hereditate fraterna sibi competentis usumfructum paren-

4) P: κεφ. γ'. — Est summa Theodori tertia ex Nov. 118 cap. 1. Vide Basil. Fabrot. VI p. 102, ubi tamen: *κληρονομοῦσιν αὐτὸν in stirpes κἂν ἄῤῥενες κ. τ. λ.* Nempe latinas dictiones Prochiri confectores graece reddiderunt. Cf. Praefation. §. 1. — Harm. l. l.

5) P: κεφ. δ'. — Est quarta Theodori summa ex Nov. 118 c. 2. Basil. Fabrot. VI p. 103. — Harm. l. l. §. 6.

σαντος αὐτοῖς μέρους ἐκ τῆς κληρονομίας τοῦ ἰδίου ἀδελφοῦ, κἂν αὐτεξούσιος κἂν ὑπεξούσιος ἦν [6]).

ζʹ. Ἀνιόντων ὑπόντων τῷ τελευτήσαντι καὶ ἀδελφῶν γνησίων καὶ παίδων ἀδελφοῦ ἀμφιθαλοῦς προτελευτήσαντος, πάντες καλοῦνται εἰς τὴν αὐτοῦ διαδοχὴν, κἂν θήλειαι κἂν ἄῤῥενες ὦσιν. οἱ γὰρ ἀδελφόπαιδες ὑπεισέρχονται τὸ τοῦ ἰδίου πατρὸς πρόσωπον, καὶ λαμβάνουσιν εἴ τι ἤμελλε λαμβάνειν, εἰ περιῆν, ὁ πατὴρ αὐτῶν [7]).

ηʹ. Οἱ ἐκ τῶν αὐτῶν γονέων φύντες ἀδελφοὶ πρώτην ἔχουσι τάξιν εἰς τὸ κληρονομῆσαι τὸν ἴδιον ἀδελφὸν, ἄλλων ἀδελφῶν προκειμένων μὴ ὄντων ἀμφιθαλῶν. πλὴν εἰ ὕπεισι παῖδες ἑτέρου ἀδελφοῦ αὐτῶν ὁμοπατρίου καὶ ὁμομητρίου, κἀκεῖνοι ὁμοῦ καλοῦνται, τουτέστιν οἱ ἀδελφοὶ καὶ οἱ παῖδες τοῦ ἀμφιθαλοῦς ἀδελφοῦ, εἰς τὰ τοῦ τελευτῶντος αὐτῶν μὲν ἀδελφοῦ, ἐκείνων δὲ θείου [8]). εἰ δὲ μὴ ὕπεισιν ἀδελφοὶ [9]) ἢ παῖ-

tibus suis acquirunt, sive in potestate fuerit sive emancipatus.

7. Extantibus defuncto ascendentibus germanisque fratribus et liberis germani fratris praemortui, omnes vocantur ad ejus successionem, sive mares sint sive feminae: fratrum enim liberi in patris sui locum subeunt, et capiunt, quidquid pater eorum si superesset accepturus erat.

8. Fratres ex iisdem parentibus nati primum habent ordinem in successione fratris sui, si alii fratres non germani extent. Si tamen subsint liberi alius fratris eorum, eodem patre ac matre nati, etiam hi simul vocantur, h. e. fratres et liberi germani fratris, in bona defuncti, illorum quidem fratris, horum vero patrui. Quodsi neque fratres [germani] neque talium fratrum

6) P: κεφ. εʹ. — Summa Theodori quinta ex Nov. 118 cap. 2. Basil. Fabrot. VI p. 103, ubi: *in capita* pro ἐξίσης. — Harm. l. l. §. 10.

7) P: νεαρὰ ρκζʹ κεφ. αʹ. — Summa Theodori, ut videtur, ex Nov. 127 cap. 1. — Harm. l. l. §. 11.

8) R: εἰς τὸν τοῦ τελ.. — θείου κλῆρον.

9) Addendum videtur: ἀμφιθαλεῖς.

δες ἀδελφῶν τοιούτων, δηλονότι τότε οἱ ἐκ διαφόρων φύντες γονέων ἀδελφοὶ κληρονομοῦσι τὸν ἀποθανόντα ἀδελφόν [10]).

θ'. Ἐάν τις τελευτήσῃ ἐπὶ ἀδελφῷ ἐκ διαφόρων γονέων ὑπάρχοντι καὶ ἐπὶ υἱοῖς ἀδελφοῦ ὁμοπατρίου καὶ ὁμομητρίου, οἱ τεκνάδελφοι προτιμῶνται τοῦ ἀδελφοῦ εἰς τὴν κληρονομίαν αὐτοῦ. καὶ γὰρ οἱ ἀπὸ τῶν αὐτῶν γονέων θεῖοι προτιμῶνται τῶν ἐκ διαφόρων ὄντων γονέων ἀδελφοπαίδων. ἰστέον δὲ, ὅτι ἀδελφῶν ἀμφιθαλῶν καὶ παίδων τοιούτων ἀδελφῶν μὴ ὑπόντων, τότε οἱ ἐκ διαφόρων γονέων ἀδελφοὶ κληρονομοῦσι τὸν ἐξ ἑνὸς γονέως ὄντα ἀδελφὸν αὐτῶν [11])

ι'. Ἀδελφοῦ μὴ ὑπόντος μήτε ἀδελφόπαιδος, οἱ λοιποὶ ἐκ πλαγίου συγγενεῖς καλοῦνται, οἱ τῷ βαθμῷ μέντοιγε ὄντες ἐγγύτεροι. καὶ εἰ εὑρεθῶσι πολλοὶ τοῦ βαθμοῦ ὑπάρχοντες, ἐξίσης κληρονομοῦσιν [12]).

filii extent, tunc scilicet fratres ex diversis parentibus nati defuncto fratri succedunt.

9. Si quis moriatur relicto fratre ex diversis parentibus nato et filiis fratris eodem patre ac matre nati, fratris filii praeferuntur ipsi fratri in illius hereditate: nam et thii ex iisdem parentibus praeferuntur liberis fratrum ex diversis parentibus genitorum. Sciendum autem, non extantibus fratribus germanis nec hujusmodi fratrum liberis, tunc fratres ex diversis parentibus succedere fratri ex alterutro parente.

10. Fratre non extante neque fratris filio, reliqui ex transverso cognati vocantur, scilicet qui gradu proximiores sunt. Et si plures ejusdem gradus inventi fuerint, virilium portionum heredes erunt.

10) P: τὸν ἀποθ. ἑτεροθαλῆ ἀδελφόν. Idem laudat: νεαρὰ ριη' κεφ. ς'. — Est sexta Theodori summa ex Nov. 118 c. 3. Basil. Fabrot. VI p. 103. — Harm. l. l. §. 12.

11) P: κεφ. ζ'. — Summa Theodori VII ex Nov. 118 c. 3. Basil. Fabrot. VI pag. 103. — Harm l. l. §. 13.

12) Summa Theodori IX ex Nov. 118 c. 3. Basil. Fabrot. VI pag. 104. Ubi pro ἐξίσης est: *in capita*. — Harm. l. l. §. 14.

ια΄. Εἰ πατὴρ προικίζων τὴν ἑαυτοῦ θυγατέρα συνεφώνησεν ἀρκεῖσθαι αὐτὴν τῇ δοθείσῃ ὑπὲρ αὐτῆς προικὶ καὶ μὴ ἔχειν [13]) μέρος ἐκ τῆς αὐτοῦ κληρονομίας, οὐκ ἔῤῥωται τοῦτο τὸ σύμφωνον, οὐδὲ κωλύεται κληρονομεῖν ἀδιάθετον αὐτὸν τελευτῶντα ἡ θυγάτηρ τὴν προῖκα τοῖς ὑπεξουσίοις μείνασιν αὐτῆς ἀδελφοῖς συνεισφέρουσα [14]).

ιβ΄. Τὴν προγάμου δωρεὰν ὥσπερ τὴν προῖκα δεῖ συνεισφέρεσθαι [15]), ἀδιαθέτου τελευτῶντος τοῦ ταύτην ἐπιδεδωκότος, εἴτε μήτηρ ἐστὶν εἴτε πατὴρ ἤ τις τῶν ἀνιόντων ἢ πρὸς πατρὸς ἢ πρὸς μητρός [16]).

ιγ΄. Καὶ ὁ κωφὸς καὶ ὁ ἄλαλος καλῶς ἐνίσταται κληρονόμος [17]).

ιδ΄. Τὰ ἐν τῷ μέσῳ συμβαίνοντα τῷ κληρονόμῳ οὐ βλάπτει. οἷον ἐὰν περιορισθῇ ἢ ἐξορισθῇ μετὰ τὴν διαθήκην καὶ πάλιν ἀποκατασταθῇ [18]).

11. Si pater filiam suam dotans pactus est, ut dote pro se data sit contenta neque ex hereditate ipsius partem capiat, non valet hoc pactum, nec prohibetur filia succedere patri intestato obeunti, dum dotem fratribus, qui in potestate manserant, conferat.

12. Ante nuptias donatio sicuti et dos conferenda est, si qui eam dedit intestatus moritur, sive mater fuerit sive pater sive ascendentium quis ex parte patris vel matris.

13. Et surdus et mutus recte instituitur heres.

14. Quae medio tempore accidunt, heredi non nocent, ut puta si deportatus aut relegatus sit post testamenti confectionem et rursus restitutus sit.

13) L: ἐπέχειν. B: μετέχειν μέρους

14) Cod. VI, 20, 3. — Harm. l. l. §. 23. — Ex Theodori Codice, ni fallor, hic locus desumtus est. (Basil. Fabrot. V p. 509.)

15) C: καὶ ἀδιαθ.

16) Cod. VI, 20, 17. — Harm. l. l. §. 24.

17) B: κληρονομεῖν. — P: βι. κη΄ τί. ε΄ διγ. α΄. — Dig. XXVIII, 5, 1 §. 2. — Harm. l. l. §. 38.

18) P: διγ. ἑ θέ. . . Dig. eod. dig. 6 §. 2. — Harm. l. l. §. 39. — R in fine addit: ἢ δοῦλος ἀλλότριος γραφεὶς κληρονόμος ἐκτήθη δὲ παρὰ δούλου τῆς ἐκκλησίας καὶ αὖθις ὑπὸ ἐξωτικῶν διὰ χρόνου δὲ ἐκυριεύθη.

ιε'. Ἔῤῥωται ἡ ἔνστασις, εἰ καὶ τὸ ὄνομα τοῦ κληρονόμου μὴ λεχθῇ ἀλλ' ὁμολογούμενον γνώρισμα [19]).

ις'. Οἱ κληρονόμοι δικαίου εἰσὶ διάδοχοι, καὶ ἐὰν μὴ διέλῃ εἰς αὐτοὺς ὁ διατιθέμενος, ἐξίσου καλοῦνται [20]).

ιζ'. Καὶ ὁ αἰχμάλωτος διὰ τὴν ἐλπίδα τῆς ὑποστροφῆς καλῶς γράφεται κληρονόμος καὶ ὁ δοῦλος αὐτοῦ. καὶ ἐὰν ὑποστρέψῃ, λαμβάνει τὴν κληρονομίαν [21]).

ιη'. Ἔγραψά σε κληρονόμον· εἶτα φήμης γενομένης ὡς ἐτελεύτησας, δευτέραν ἔγραψα διαθήκην οὕτως εἰπών· ἐπειδὴ ὃν ἤθελον οὐκ ἠδυνήθην σχεῖν κληρονόμον, ἔστω ὁ δεῖνα κληρονόμος. διὰ οὖν τὴν γνώμην μου σὺ ὁ πρότερος γίνῃ κληρονόμος καὶ δίδως τὰ ἐν τῇ διαθήκῃ ληγάτα, ὡσανεὶ ἐν αὐτῇ ἐγράφης [22]).

ιθ'. Ἡνίκα τελευτήσῃ ἀνὴρ ἢ γαμετὴ ἀδιάθετοι, καὶ μηδένα ἐκ τῶν ἀνιόντων ἢ κατιόντων ἢ τῶν ἐκ πλαγίου ἔννομον ἢ φυσικὸν σχοίησαν διάδοχον, τότε ὁ

15. Valet institutio, etsi nomen heredis expressum non sit, sed notorium signum.

16. Heredes juris sunt successores, et si testator inter eos non diviserit, aequaliter vocantur.

17. Etiam captivus propter spem postliminii recte scribitur heres nec non servus ejus: et si redierit, hereditatem consequitur.

18. Scripsi te heredem: postea rumore perlato te obiisse, secundum scripsi testamentum, sic loquens: quia quem heredem habere volui continere non potui, ille heres esto. Igitur propter voluntatem meam prior tu scriptus heres eris, et legata testamento relicta praestas, proinde ac si in eodem scriptus sis.

19. Si vir aut uxor intestati moriantur, et neminem ex ascendentibus aut descendentibus aut ex latere venientibus legitimum vel naturalem habeant successo-

19) P: *διγ. η' θέ. β'.* — Dig. eod. dig. 9 §. 8. — Harm. l. l. §. 40.

20) P: *θέ. δ'.* — Dig. eod. §. 12. — Harm. l. l. §. 41.

21) Dig. eod. dig. 32 §. 1. — Harm. l. l. §. 42.

22) Paris. 1391 habet: *ἐγράφησαν.* — Dig. eod. dig. 92. — Harm. l. l. §. 43.

ἀνὴρ εἰς τὴν τῆς γυναικὸς καλείσθω ἐξ ὁλοκλήρου κληρονομίαν, καὶ ἡ γυνὴ τὸν ἄνδρα διαδεχέσθω [23]).

κ'. Γράφειν δυνάμεθα κληρονόμους τοῦτο μὲν ἐλευθέρους, τοῦτο δὲ οἰκέτας, καὶ οἰκέτας [24]) ἡμετέρους, ἔτι δὲ καὶ ἀλλοτρίους. ἀλλὰ καὶ δίχα ἐλευθερίας ἡ τοῦ οἰκέτου ἔνστασις ἔῤῥωται [25]), ἥτις καὶ χωρὶς ἐλευθερίας γραφέντας αὐτοὺς ἀκωλύτως ἐπὶ τὴν κληρονομίαν καλεῖ [26]).

κα'. Τοὺς δούλους τῶν δυναμένων γράφεσθαι κληρονόμων δυνάμεθα γράφειν κληρονόμους. ὁ γὰρ δοῦλος ἐκ προσώπου τοῦ δεσπότου αὐτοῦ ἔχει διαθήκης προνόμιον [27]).

κβ'. Οὐκ ἀεί τις τὸν ἴδιον δοῦλον ἔνστατον γράφει κληρονόμον ἰσχυρῶς, ἀλλ' οὐδὲ μετὰ ἐλευθερίας, ὡς ἐπὶ τοῦ τοιούτου θέματος· ἀπέθετό τις ἀνὴρ κατηγορίαν κατὰ τῆς ἰδίας γυναικὸς, λέγων αὐτὴν ὑπὸ τοῦ ἰδίου δούλου μοιχεύεσθαι. μήπω περαιωθέντος τοῦ δι-

rem, tunc vir ad mulieris hereditatem ex asse vocetur, et mulier viro succedat.

20. Scribere possumus heredes tam liberos quam servos, et quidem tum servos nostros tum alienos: quin etiam sine libertate servi institutio valet, quae eos etiam sine libertate scriptos citra impedimentum ad hereditatem vocat.

21. Servos eorum, qui heredes possunt institui, possumus scribere heredes: nam servus ex persona domini testamenti privilegium habet.

22. Non semper quis proprium servum utiliter heredem instituit, imo nec cum libertate, veluti in hac specie: Quidam vir adversus uxorem accusationem instituit, dicens eam a proprio servo adulteratam. Judi-

23) Cod. VI, 18. — Harm. l. l. §. 44.

24) Verba καὶ οἰκέτας C non habet.

25) Supplendum multis videtur: ἐκ τῆς διατάξεως (scil. Cod. VI, 27, 5), abnuentibus tamen Codd. MSS.

26) Inst. II, 14 pr. Theophil. ibid. — Harm. l. l. §. 46.

27) [Dig. XXVIII, 5, 31 pr.] Inst. II, 14, 3. Theophil. ibid. — Harm. l. l. §. 47.

καστηρίου ἡ εἰρημένη γυνὴ τελευτῶσα τὸν εἰρημένον [28]) *δοῦλον μετὰ ἐλευθερίας ἐνεστήσατο κληρονόμον. μετὰ τὴν ἐκείνης τελευτὴν ζήτησις γέγονεν, εἰ ἔῤῥωται τὰ τῆς ἐνστάσεως. καὶ οἱ νομικοὶ ἀντέγραψαν· τὸν οἰκέτην ἔνοχον ὄντα τῇ μοιχείᾳ οὐκ ἰσχυρῶς ἐν τῇ διαθήκῃ ἐλευθεροῦσθαι πρὸ τοῦ πέρατος τοῦ δικαστηρίου ὑπ' ἐκείνης αὐτοῦ τῆς δεσποίνης, ἥτις ὡς ὑποπεσοῦσα τῷ αὐτῷ ἐγκλήματι κατηγορεῖτο. ὥστε οὖν ἡ ἔνστασις ἡ ἐπὶ τῷ τοιούτῳ γενομένῃ δούλῳ πάσης ἰσχύος ἐστὶν ἐκτός* [29]).

κγ'. Μήτηρ *ψευδῶς ἀκούσασα τὸν στρατιώτην αὐτῆς υἱὸν τελευτῆσαι κληρονόμον ἄλλον ἔγραψεν· λαμβάνει τὴν κληρονομίαν ὁ υἱὸς καὶ δίδωσι τὰ ληγάτα καὶ τὰς ἐλευθερίας* [30]).

cio nondum absoluto dicta mulier moriens illum servum heredem instituit cum libertate. Post illius mortem quaestio orta est, an valeret institutio? Et rescripserunt JCti, servum adulterii reum testamento non recte manumitti ante exitum judicii ab illa sua domina, quippe quae ejusdem criminis rea postuletur. Itaque facta in hujusmodi servo institutio omni robore destituitur.

23. Mater falso audiens filium suum militem obiisse alium scripsit heredem: filius capit hereditatem et legata ac libertates praestat.

28) B: τοιοῦτον.

29) Inst. II, 14, pr. Theophil. ibid. — Harm. l. l. §. 48.

30) Dig. V, 2, 28. — Harm. l. l. §. 50.

ΤΙΤΛΟΣ ΤΡΙΑΚΟΣΤΟΣ ΠΡΩΤΟΣ.

Περὶ ἀποκαταστάσεως [1]).

α'. Ἀποκαθίστανται οἱ ἥττονες τῶν κε' ἐτῶν κατὰ τῶν πραθέντων αὐτῶν ἐνεχύρων παρὰ τῶν ἰδίων δανειστῶν, εἰ μὴ ἄρα ὁ τούτων πατὴρ τὰ ἐνέχυρα τοῖς δανεισταῖς ἔδωκε, καὶ οὐκ αὐτοί [2]).

β'. Οὐκ ἐν πᾶσιν οἱ νέοι ἀποκαθίστανται, ἀλλ' ἐν τοῖς ὑφ' ἑαυτῶν [3]) ἢ ὑφ' ἑτέρων ἀπολέσαντες ἢ μὴ κτησάμενοι ἢ ἐνοχοποιηθέντες [4]).

TITULUS TRICESIMUS PRIMUS.

De restitutione.

1. Restituuntur minores XXV annis in pignoribus eorum a creditoribus venditis, nisi forte eorum pater pignora creditoribus dedit, et non ipsi.

2. Non in omnibus minores restituuntur, sed in

1) R ante §. 1 haec habet: Εἰ νέος ἐγκαταλειφθείη εἰς τὴν γονικὴν ὑπόστασιν, εἴ τι δ' ἂν ἐκποιήσηται ἀπὸ τῶν γονικῶν εἴτε ἀπὸ τοῦ ἰδιοκτήτου ἐντὸς τοῦ κθ' χρόνου τῆς ἡλικίας αὐτοῦ ἢ δωρήσηται ἢ ἀνταλλάξῃ ἢ πωλήσῃ ἢ συμφωνήσῃ πρὸς οἱονοῦν πρόσωπον, ταῦτα πάντα οὐδεμίαν ἰσχὺν λαμβάνουσιν ἢ ὑφ' ἑτέρων ἢ μὴ κτησάμενοι, τουτέστι παρὰ κηδεμόνος ἤγουν ἰδίου ἢ ἐπιτρόπου ἢ προκουράτωρος ἢ κουράτωρος ἐκ τῶν διαφερόντων τῆς τοῦ νέου ὑπάρξεως ἐπικτησαμένων εἰς οἰκεῖον κέρδος δολερῶς διὰ περιγραφὴν τοῦ νέου. ἐνηλίκου αὐτοῦ γενομένου, τουτέστιν ἀπὸ κε' ἔτους μέχρις κθ' βοηθεῖται λογαριάζειν τοὺς προλεχθέντας αὐτῶν, παραλαμβάνων τὴν ἅπασαν αὐτοῦ ὑπόστασιν καὶ καλλιεργῶν ἐπὶ τριετῆ χρόνον καὶ πρὸς αὐτὴν τὴν εἰσφορὰν ἀπαιτεῖν αὐτοὺς ἐφ' ὅσους χρόνους τὴν ὑπόστασιν αὐτοῦ ἐκράτησαν, δηλονότι ὑπεξαιρουμένων τῶν εἰς τροφὴν καὶ ἔνδυσιν καὶ μάθησιν τοῦ νέου παρ' αὐτῶν ἀναλωθέντων. ἢ ἐνοχοποιηθέντων, τουτέστιν ὅτε μετὰ θάνατον τῶν γονέων ἐπίτροπος ὑποβολιμαίους δανειστὰς ἐγείρει, θέλων νοσφίσασθαι καὶ ἀποκερδῆσαι ἐκ τῶν τῷ νέῳ διαφερόντων, καὶ αὐτὰ διὰ παραγραφὴν τοῦ νέου. — Quae quidem non omnia intelligo, et unde sumta sint nescio. Fragmentum esse videtur ex lege aliqua et παραγραφαῖς [ad verba typis distinctis expressa] conflatum.

2) Cod. II, 28. — Harm. I, 12, 40.

3) C: αὐτῶν.

4) Dig. IV, 4, 44. — Harm. eod. §. 42.

γʹ. Τὸ τοῦ ἀφήλικος ἀκίνητον πρᾶγμα καλῶς πωλεῖται διὰ ἰδικὸν αὐτοῦ χρέος ἢ διὰ πατρῷον ἢ δημόσιον, δηλονότι ἐπὶ φανερᾶς κριτοῦ ἀποφάσεως [5]).

δʹ. Καλῶς ἀνατρέπουσιν οἱ ἥττονες, ἅπερ κατὰ δόλον κακῶς ἐπώλησαν οἱ αὐτῶν κηδεμόνες [6]).

εʹ. Ἡ ἁρμόζουσά τινι ἀποκατάστασις παραπέμπεται καὶ [7]) ἐπὶ τοὺς αὐτοῦ [8]) κληρονόμους [9]).

ςʹ. Κἂν [10]) εἴπῃ ἑαυτὸν μείζονα [11]) ὁ ἥττων κατὰ πλάνην, οὐδὲν ἧττον ἀποκαθίσταται [12]).

ζʹ. Ὁ ἥττων συγγνώμην ἡλικίας αἰτήσας δύναται ἀνατρέψαι ὃ κακῶς ἐπώλησεν, εἴσω ἐνιαυτοῦ μετὰ κεʹ ἔτη. ὡσαύτως δὲ καὶ ὃ κακῶς ἠγόρασεν ἢ ἐνήλλαξε, δύναται αὐτὸ ἀνατρέψαι, τὸ καταβληθὲν ἐπαναλαμβάνων τίμημα εἴσω τοῦ εἰρημένου χρόνου. τοῦτο δὲ τὸ προνόμιον καὶ κληρονόμοις αὐτοῦ παραπέμπεται [13]).

rebus a se vel ab aliis gestis, in quibus aliquid amiserunt aut non acquisierunt aut obligati fuerunt.

3. Minoris res immobilis recte venditur tam ob proprium debitum quam ob paternum aut publicum, nimirum per manifestum judicis decretum.

4. Recte rescindunt minores, quae per fraudem curatores eorum male vendiderunt.

5. Restitutio alicui competens transmittitur etiam ad ejus heredes.

6. Etiamsi minor se majorem ex errore dixerit, nihilominus restituitur.

7. Minor impetrata aetatis venia rescindere potest, quod male vendidit, intra annum post XXV annos. Similiter quoque, quod male emit aut permutavit, rescindere potest, solutum pretium recipiens intra dictum tempus. Hoc autem privilegium etiam ad heredes ejus transmittitur.

5) Cod. V, 71, 18. — Ex Theodori Codice hic locus desumtus esse videtur. Cf. Basil. Fabrot. V p. 160 schol. s. — Harm. §. 12.

5) Cod. II, 27, 2. — Harm. §. 13.

6) Deest in R.

8) C: αὐτούς. R: αὐτῆς.

9) Dig. h. t. dig. 18. — Harm. §. 43.

10) R: Ἐάν.

11) C: μείζων.

12) Cod. II, 42, 1. — Harm. §. 44.

13) Cod. II, 52, 5 pr. —

η'. Ἐὰν δὲ χαρίσηταί τι ἀφῆλιξ τινι πρᾶγμα αὐτοῦ, δύναται καὶ [14]) μετὰ τὸ παρελθεῖν τὰ κε' ἔτη ἐντὸς τετραετίας ἀγωγὴν ποιεῖσθαι [15]) καὶ τὸ οἰκεῖον ἐπαναλαμβάνειν πρᾶγμα [16]).

ΤΙΤΛΟΣ ΤΡΙΑΚΟΣΤΟΣ ΔΕΥΤΕΡΟΣ.

Περὶ φαλκιδίου.

α'. Φαλκίδιός ἐστιν ἄχρι μὲν δ' παίδων τὸ τρίτον μέρος τῆς καθαρᾶς ὑποστάσεως, πλειόνων δὲ ὄντων τῶν [1]) παίδων, τὸ ἥμισυ. ἐν τούτῳ οὖν τῷ εἰρημένῳ τρίτῳ ἢ ἡμίσει μέρει ὑπεισέρχονται, ὅσοι ἂν χωρισθῶσι [2]) πρὸς φαλκίδιον, μετὰ τῶν [3]) τὴν λοιπὴν

8. Quodsi minor alicui suam rem donaverit, etiam post elapsos viginti quinque annos intra quadriennium actionem instituere potest et suam rem recuperare.

TITULUS TRICESIMUS SECUNDUS.

De Falcidia.

1. Falcidia ad quatuor usque liberos triens est puri patrimonii, si vero plures liberi sint, semis. In hac igitur dicta tertia aut dimidia parte concurrunt, quicunque Falcidia contenti esse sunt jussi, cum iis, qui in reliqua bona ex ultima ordinatione succedunt.

Harm. §. 15; ubi vide Reitzii notas.

14) Deest in B.

15) B: ποιήσασθαι.

16) Harm. §. 16. — Adscribere visum est, quod in Cod. Paris. gr. 1367 ad hunc locum in margine adjicitur: Σχόλιον. Τοῦτο τὸ κεφάλαιον Θαλέλαιος καὶ δωρόθεος ἐν τῷ κώδικι ζητούμενοί φασιν, ὅτι ὁ ἥττων, κἂν ἤτησεν συγγνώμην ἡλικίας κἂν οὐκ ἤτησεν, δύναται τὰ μὲν εἰρημένα συναλλάγματα, εἴτε μόνος αὐτὸς εἴτε καὶ ὁ κουράτωρ αὐτοῦ χωρὶς δεκρέτου ταῦτα ἔπραξεν, μετὰ τὸν κε' ἐνιαυτὸν μέχρις ἑτέρας ε' ἐτίας (sic) ἐνάγων ἀνατρέπειν· τὴν μέντοι δωρεὰν ἐντὸς δεκαετίας μεταξὺ παρόντων καὶ κ' ἐτίας ἀπόντων. τὸ κείμενον δὲ τοῦ συντόμου κώδικος Θεοδώρου ἐστὶν, καὶ τίνι δεῖ μᾶλλον πιστεύειν οὐκ ἄδηλον. — Cf. ad haec Cod. II, 44, 3.

1) Deest in B.

2) E et Bodlej. 3399: ὁρισθῶσι.

3) R non habet. C: τόν.

ὑπόστασιν κατὰ τελευταίαν διάταξιν κληρονομούντων [4]).

β'. Ἔξεστι ληγατεύειν μέχρι τοῦ ὀκταουγκίου. τὸ γὰρ τετραούγκιον, τουτέστι τὸ τρίτον τῆς περιουσίας, τῷ κληρονόμῳ φυλάττεται [5]).

γ'. Ἐπὶ τοῦ φαλκιδίου δεῖ ἐξαιρεθῆναι τὰ ἐποφληθέντα ὑπὸ τοῦ τελευτήσαντος καὶ τὴν περὶ τὴν [6]) κηδείαν δαπάνην καὶ τὰ τιμήματα τῶν ἐλευθερωθέντων οἰκετῶν, καὶ λοιπὸν τὸ ὑπόλοιπον [7]) σκοπεῖν, ὁπόσον ἐστί· τοῦτο γὰρ νομίζεται καθαρὰ οὐσία, καὶ ταύτης τὸ τρίτον παρακατέχεται [8]).

δ'. Εἴ τις δωρεὰν ἄμετρον εἴς τινα ἢ τινας τῶν παίδων ποιήσαιτο [9]), ἀνάγκην ἔχει ἐν τῇ διανομῇ τοῦ κλήρου τοσοῦτον ἑκάστῳ τῶν παίδων φυλάττειν τὸ ἐκ τοῦ νόμου μέρος, ὅσον ἦν, πρὶν τὴν δωρεὰν ὁ πατὴρ εἰς τοὺς παῖδας τοὺς ταύτῃ τετιμημένους ποιήσαιτο. οὕτω γὰρ οὐδὲν ἔτι ἐγκαλοῦσιν [10]), ἔχοντες μὲν ἐπὶ

2. Licet legare usque ad octo uncias: nam quatuor unciae, id est tertia pars hereditatis, heredi servantur.

3. In Falcidia deducenda sunt, quae a defuncto debentur, nec non funeris impensae et manumissorum servorum pretia, et spectandum reliquum, quantum sit. Hoc enim purum esse patrimonium censetur, et hujus tertia pars retinetur.

4. Si quis donationem immodicam in unum vel plures liberorum contulerit, debet in hereditatis divisione tantam cuique liberorum ex lege portionem servare, quanta erat, antequam pater illam donationem in liberos ea honoratos contulisset. Sic enim de nihilo

4) C: κληρονομοῦντας. R: κληρονομοῦντες. — Nov. 18 cap. 1. — Harm. V, 9, 2.

5) Harm. §. 3. — Hoc capite videtur contineri Dig. XXXV, 2, 1 pr. Cf. Basil. Fabrot. V p. 357. Caeterum nota, τοῦ φαλκιδίου verbo significari tum legitimam portionem (τὴν νόμιμον μοῖραν) tum Falcidiam.

6) Verba: περὶ τὴν C non habet.

7) L: ἐπίλοιπον.

8) P: Ἰνστιτ. β' τί. κβ'. — Theophil. II, 22, 3. — Harm. §. 4.

9) B: ποιήσεται.

10) B: ταῖς δωρεαῖς ἐγκαλέσουσιν. Consentit Bodl. 8399.

πάσῃ τῇ οὐσίᾳ τοῦ πατρὸς τὸ ἀπὸ τῶν νόμων, κατὰ τοσοῦτον δὲ αὐξομένου [11]) τούτου τοῦ μέτρου, καθόσον καὶ τὰ πράγματα εἶχον [12]) τοῦ πατρὸς, πρὶν ταῖς δωρεαῖς ἐξαντληθείη· οὐ δυναμένων τῶν ἐπὶ ταῖς δωρεαῖς τετιμημένων παίδων φάσκειν, ἀρκεῖσθαι μὲν ταῖς ἀμέτροις ταύταις δωρεαῖς, δοκεῖν δὲ ἀφίστασθαι τοῦ πατρῴου κλήρου· ἀλλ' οὐκ ἀναγκαζομένων μὲν, εἰ ἀρκοῦνται ταῖς δωρεαῖς, καταδέχεσθαι τὸν κλῆρον, ἀνάγκην δὲ ἐχόντων πᾶσι τρόποις ἐπανισοῦν τοῖς ἀδελφοῖς τὸ ἐντεῦθεν διαφέρον καθόσον εἰρήκαμεν μέτρον, ὥστε μὴ ἔλαττον αὐτοὺς ἔχειν τὸ ἐκ νόμων αὐτοῖς ὀφειλόμενον διὰ τὴν γενομένην ἐπὶ ταῖς δωρεαῖς ἀμετρίαν· ὅπουγε ἔξεστι τῷ πατρὶ, μέτρια φρονήσαντι περὶ τὴν πᾶσαν γονὴν, καὶ τοῖς παρ' αὐτοῦ μᾶλλον ἀγαπωμένοις χαρίσασθαί τι πλέον, καὶ μὴ τοὺς λοιποὺς παῖδας διὰ τῆς εἰς ἐκείνους γενομένης ἀμετρίας βλάψαι, καὶ τὸν ἡμετέρον παραβῆναι σκοπόν. ταῦτα μέντοι φαμὲν περὶ παίδων κεχαρισμένων ὄντων αὐτοῖς, οὐ μὴν περὶ τῶν ἀγνωμόνων, καὶ οἷς ὁ πατὴρ δικαίαν τε καὶ νόμιμον ἀχαριστίαν ἐπάγει· εἰ γὰρ τοῦτο οὕτως ἔχον φανείη

jam queruntur, cum ex omni paterno patrimonio legitimam habeant, et mensura ejus in tantum aucta sit, in quantum patris bona porrigebant, antequam donationibus exhauriretur; nec licentia sit liberis per donationes honoratis dicendi, contentos se esse immodicis hisce donationibus et decrevisse paterna abstinere hereditate: ita scilicet ut non cogantur quidem, si donationibus sint contenti, adire hereditatem, at necesse habeant omni modo fratribus differentem hinc mensuram, quantam diximus, exaequare, ut ne minorem ipsi legitimam habeant propter modum in donationibus non servatum: quum sane patri cum temperamento de omni prole sentienti liceat, et iis, quos magis diligit, amplius quid largiri, nec tamen reliquos liberos laedere per immodicam erga illos largitatem nostrumque propositum transgredi. Haec autem diximus de liberis erga ipsos gratis, non item de ingratis, et quibus pater justam ac le-

11) B: αὐξανομένου. Consentit Bodlej. 3399.
12) Reitz corrigit in εἶχε.

καὶ ἀποδειχθείησαν [13]) αἱ τῆς ἀχαριστίας αἰτίαι, ἔστω τὰ τῶν νόμων τῶν ἐπὶ τοῖς ἀχαρίστοις κειμένων [14]) κύρια, οὐδὲν ἐκ τῆσδε ἡμῶν τῆς νομοθεσίας ἐλαττούμενα [15]).

ΤΙΤΛΟΣ ΤΡΙΑΚΟΣΤΟΣ ΤΡΙΤΟΣ.

Περὶ ἀποκλήρων.

α΄. Εἴ τις τοῖς ἰδίοις γονεῦσι χεῖρα [1]) ἐπιβάλοι, ἢ βαρεῖαν καὶ ἀπρεπῆ αὐτοῖς ὕβριν ἐπαγάγοι, ἢ καὶ ἐπὶ ἐγκληματικῆς αἰτίας αὐτῶν κατηγορήσοι τῆς μὴ οὔσης [2]) κατὰ βασιλέως ἢ πολιτείας, ἢ μετὰ φαρμακῶν ὡς φαρμακὸς συναναστρέφεται, ἢ τῇ ζωῇ τῶν ἰδίων γονέων διὰ φαρμακείας ἢ ἄλλῳ τρόπῳ ἐπιβουλεῦσαι πειραθείη [3]), τὸν τοιοῦτον ἀπόκληρον εἶναι θεσπίζομεν [4]).

gitimam ingratitudinem objicit. Si enim hoc ita se habere appareat, causaeque ingratitudinis probentur, rata sint, quae leges de ingratitudine latae statuunt, et nihil ex hac nostra constitutione minuantur.

TITULUS TRICESIMUS TERTIUS.

De exheredibus.

1. Si quis parentibus suis manum intulerit, aut gravem et indignam iis injuriam ingesserit, aut de criminali causa eos accusaverit, quae non sit contra principem vel rempublicam, aut cum veneficis ut veneficus conversetur, aut vitae suorum parentum per venenum aliove modo insidiari tentaverit, hunc exheredem esse statuimus.

13) L: ἀποδειχθεῖεν.

14) L: κείμενα.

15) P: Νεαρὰ μβ΄. — Nov. 92 cap. 1. — Harm. §. 17.

1) B: χεῖρις.

2) C: αἰτίας αὐτῶν κατὰ βασιλέως ταῖς μὴ οὔσαις κατηγορήσει ἢ πολιτείας.

3) παραθείη.

4) Nov. 115 cap. 3 §. 1 — 5. — Quae nobis sunt cap. 1 — 29, apud Harmenopulum V, 9, 31 — 33 leguntur.

β'. Εἰ τῇ ἰδίᾳ μητρυᾷ ἢ τῇ τοῦ πατρὸς παλλακῇ ὁ υἱὸς ἑαυτὸν μίξοι [5]).

γ'. Εἰ συκοφάντης κατὰ τῶν γονέων οὗτος [6]) *γένηται καὶ διὰ τῆς ἰδίας καταμηνύσεως βαρείας αὐτοῖς* [7]) *ζημίας ὑπομεῖναι παρασκευάσοι* [8])

δ'. Εἰ ἐν ἀσθενείᾳ χρονίᾳ κατακειμένων αὐτῶν ἢ γήρᾳ [9]) *καὶ ἀδυναμίᾳ καταντησάντων αὐτῶν, ἀμελήσειαν* [10]) *τῆς τούτων φροντίδος οἱ παῖδες καὶ μετακαλούμενοι παρὰ τῶν γονέων μὴ βουληθεῖεν ἐπιμελείας αὐτοὺς ἀξιῶσαι* [11]).

ε'. Εἰ συμβῇ τινα τῶν εἰρημένων γονέων ἐγκεκλεῖσθαι [12]), *οἱ δὲ παῖδες οἱ δυνάμενοι ἐξ ἀδιαθέτου εἰς τὴν τούτων διαδοχὴν ἐλθεῖν αἰτηθέντες ἤγουν ὁ* [13]) *εἷς ἐξ αὐτῶν μὴ βουληθεῖεν* [14]) *εἰς τὴν ἑαυτῶν ἐγγύην τοῦτον ὑποδέξασθαι ἢ* [15]) *ὑπὲρ προσώπου ἢ τοῦ χρέους, εἰς ὅσον ἐπιτήδειος εἶναι ὁ αἰτούμενος ἀποδείκνυται.*

2. Si filius cum noverca sua aut concubina patris rem habuerit.

3. Si is calumniator in proprios parentes exstiterit et sua denuntiatione gravia iis damna paraverit.

4. Si illis in diutina infirmitate jacentibus aut in senectute et impotentia constitutis nullam adhibuerint curam filii nec rogati a parentibus providentia sua eos dignari voluerint.

5. Si acciderit, ut quis dictorum parentum carceri inclusus sit, ac liberi, qui ad eorum successionem ab intestato venire poterant, aut unus eorum, eum in fidejussionem suam recipere noluerint, sive pro persona sive pro debito, in quantum qui rogatur idoneus

5) Nov. cit. §. 6.
6) Deest in B.
7) B: *αὐτούς.*
8) Nov. cit. §. 7.
9) B: *ἐν γήρᾳ.* C: *γήρει.*
10) Bodl. 3399: *ἀμελήσαιεν.*
11) Hoc caput continet additamentum ad Nov. 115, quod Basilio tribuendum esse videtur. — Bodl. 3399 in fine addit: *τοὺς τοιούτους ἀποκλήρους γενέσθαι.*
12) C: *ἐγκαλεῖσθαι.*
13) Deest in B.
14) Bodl. 3399: *βουληθείη.*
15) Malim: *εἰ — εἰς ὅσον ἐπιτήδειος — ἀποδείκνυται.*

τοῦτο μέντοιγε ὅπερ ἐπὶ τῆς ἐγγύης ἐθεσπίσαμεν εἰς τοὺς ἄῤῥενας καὶ μόνον ἀνήκειν παῖδας βουλόμεθα [16]).

ϛʹ. Εἰ ἐλεγχθείη [17]) τις τῶν παίδων, ὅτι ἐκώλυσε τοὺς ἰδίους γονεῖς ποιήσασθαι διαθήκην· ὥστε εἰ μὲν [18]) μετὰ ταῦτα διαθήκην ποιήσασθαι δυνηθεῖεν, ἄδειαν αὐτοῖς εἶναι ὑπὲρ τῆς τοιαύτης αἰτίας τὸν παῖδα ἄκληρον [19]) ποιεῖν. εἰ δὲ ἐν αὐτῇ τῇ κωλύσει δίχα διαθήκης τῶν γονέων τὶς τελευτήσοι, καὶ ἄλλοι, εἴτε ἐξ ἀδιαθέτου εἰς τὴν τοῦ τελευτήσαντος κληρονομίαν ἢ μετὰ τοῦ παιδὸς τοῦ τὴν διαθήκην γενέσθαι κωλύσαντος ἢ οἱ μετ' αὐτὸν καλούμενοι, εἴτε οὓς κληρονόμους ἔχειν ἠβούλοντο, εἴτε οἱ βλάβην τινὰ ἐκ τῆς κωλύσεως τῆς διαθήκης ὑπομείναντες, τοῦτο αὐτὸ [20]) ἀποδείξαιεν, καὶ οὕτως ἀπόκληρον γενέσθαι αὐτόν [21]).

ζʹ. Οὐ μόνον δὲ ἀλλὰ καὶ εἰ παραγνώμην τῶν γονέων μίμοις ἑαυτὸν ὁ υἱὸς ἐγκαταλέξοι [22]), καὶ ἐν τού-

esse probatur. Hoc vero, quod de fidejussione sancimus, ad masculos tantummodo liberos pertinere volumus.

6. Si quis liberorum convincatur prohibuisse, ne parentes testamentum facerent: ita ut, si quidem postea testamentum condere potuerint, potestas iis sit ob hanc causam filium exheredem scribere. Si quis autem parentum durante hac prohibitione sine testamento obierit, et alii, sive qui ab intestato ad defuncti hereditatem aut cum filio, qui testamentum fieri prohibuit, aut post eum vocantur, sive quos heredes vel legatarios habere voluit, sive qui damnum aliquod ex prohibitione testamenti sustinent, hoc ipsum demonstraverint, etiam sic exheres esto.

7. Insuper etiam si praeter voluntatem parentum mimis sese filius aggregaverit, atque in hac profes-

16) Nov. 115 cap. 3 §. 8.
17) C: ἐλεγχθῇ.
18) C: μή.
19) B: ἀπόκληρον.
20) C: αὐτῷ.
21) Nov. cit. §. 9.
22) R: συγκαταλέξοι. Paulo ante Bodlej. 3399 habet: μώμοις.

τῳ τῷ ἐπιτηδεύματι διαμένοι [23])· εἰ μὴ τυχὸν καὶ οἱ γονεῖς τῆς τοιαύτης ἐπιτηδεύσεως γεγόνασιν [24]).

η'. Εἴ τινι ἐκ τῶν εἰρημένων γονέων βουλομένῳ [25]) τῇ ἰδίᾳ θυγατρὶ ἢ ἐγγόνῃ ἄνδρα δοῦναι καὶ προῖκα κατὰ τὴν δύναμιν τῆς ἰδίας περιουσίας ὑπὲρ αὐτῆς [26]) παρασχεῖν μὴ συναρέσῃ [27]), ἀλλ' αἰσχρὸν βίον διάγειν ἐπιλέξηται [28]).

θ'. Εἴ τις ἐκ τῶν εἰρημένων γονέων μανείη [29]), καὶ οἱ παῖδες αὐτοῦ ἤ τινες ἐξ αὐτῶν, ἢ παίδων αὐτῷ μὴ ὑπόντων οἱ ἄλλοι αὐτοῦ συγγενεῖς οἱ ἐξ ἀδιαθέτου εἰς τὸν αὐτοῦ [30]) κλῆρον καλούμενοι, ὑπηρεσίαν καὶ φροντίδα προσήκουσαν αὐτῷ μὴ παράσχοιεν, εἰ μὲν τῆς τοιαύτης ἀπαλλαγῇ νόσου, ἔστω [31]) αὐτῷ ἄδεια, πότερον βούλεται, τὸν παῖδα ἢ τοὺς παῖδας ἢ [32]) συγγενεῖς τοὺς ἠμεληκότας ἀχάριστον ἢ ἀχαρίστους ἐν τῇ ἰδίᾳ γράψαι διαθήκῃ. εἰ δὲ ἐν τῇ νόσῳ τῆς μανίας αὐτὸν κατεχόμενον ἐξωτικός τις ἴδοι ὑπὸ [33]) τῶν οἰκείων

sione perseveret: nisi forte et parentes hujus professionis sint.

8. Si cui ex dictis parentibus, volenti filiae suae vel nepti maritum dare dotemque secundum vires suarum facultatium pro ipsa praestare, non consenserit, sed turpem vitam agere maluerit.

9. Si quis memoratorum parentum furat, ejusque liberi vel quidam ex iis, aut liberis non extantibus alii ejus cognati ab intestato ad ejusdem successionem vocandi, ministerium et competentem curam ei non exhibuerint, si quidem hoc morbo liberetur, licitum ei esto, si volet, liberum vel liberos vel cognatos, qui ipsum neglexerunt, ingratum vel ingratos in suo testamento declarare. Si vero in furoris morbo detentum illum extraneus quis viderit a propriis negligi liberis

23) B: διαμείνοι.

24) Nov. cit. §. 10. — Bodlej. 3399 addit: τὸ αὐτὸ καὶ ἐπὶ θυγατρός.

25) Hoc verbum in C deest.

26) C: ἑαυτῆς.

27) Bodlej. 3399: μὴ συγχωρήσῃ μηδὲ συναρέσῃ.

28) Nov. cit. §. 11. Hic tamen quaedam omittuntur, de quo cf. supra tit.

29) C et L: μανῇ.

30) B: αὐτόν.

31) B: ἔσται.

32) B: ἢ τούς.

33) C: ἀπό.

ἀμελούμενον παίδων ἢ συγγενῶν ἢ ἄλλων ὑπ' αὐτοῦ γεγραμμένων κληρονόμων, καὶ διὰ συμπάθειαν βουληθείη αὐτοῦ φροντίσαι, δίδομεν αὐτῷ ἄδειαν διαμαρτυρίαν τοῖς ἐξ ἀδιαθέτου ἢ ἀπὸ διαθήκης ἤδη γενομένης εἰς τὸν τοῦ μεμηνότος κλῆρον καλουμένοις ἔγγραφον στέλλειν [34]), ὥστε σπουδάζειν αὐτοὺς τούτου [35]) φροντίζειν. εἰ δέ γε μετὰ τὴν τοιαύτην διαμαρτυρίαν ἀμελήσειαν, καὶ ἐξωτικὸς ἐν τῷ ἑαυτοῦ οἴκῳ τὸν μεμηνότα ὑποδεξάμενος δαπανήμασιν οἰκείοις ἄχρι τῆς τελευτῆς αὐτοῦ φροντίσας δειχθείη, τὸν τὴν ὑπηρεσίαν καὶ τὴν [36]) ἐπιμέλειαν τῷ μεμηνότι παρασχόμενον, κἂν [37]) τὰ μάλιστα ἐξωτικὸς εἴη, εἰς τὴν τούτου διαδοχὴν ἔρχεσθαι θεσπίζομεν, ἀνατρεπομένην τῆς αὐτῶν ἐνστάσεως ἅτε δὴ ἀναξίων ὄντων, τῷ μεμαινηκότι [38]) καθάπερ εἰρήκαμεν φροντίδα παρασχεῖν ἀμελησάντων· οὕτω μέντοι ὥστε τὰ λοιπὰ τῆς διαθήκης κεφάλαια ἐν τῇ ἰδίᾳ μένειν ἰσχύϊ [39]).

ι'. Καὶ ἐὰν [40]) δὲ ἕνα τῶν προλεχθέντων [41]) γονέων ἐν αἰχμαλωσίᾳ κρατεῖσθαι συμβαίη, καὶ οἱ τοῦ-

vel cognatis aliisve ab ipso scriptis heredibus, et commiserationis causa illius curam agere voluerit, licentiam ei damus scriptae attestationis mittendae iis, qui ab intestato aut ex testamento jam condito ad hereditatem furiosi vocantur, ut ipsum curare festinent. Et si post hanc etiam attestationem negligentes fuerint, atque extraneus furiosum in suam domum receptum propriis sumtibus ad mortem usque curasse ostendatur, volumus, ut qui ministerium et curam furioso praestiterit, etsi vel maxime extraneus sit, ad illius successionem veniat: rescissa eorum institutione quippe indignorum, quum furioso sicut diximus curam adhibere neglexerint: sic tamen ut cetera testamenti capita in suo perstent robore.

10. Quodsi eveniat, ut praedictorum parentum unus in captivitate detineatur, ejusque liberi vel

34) Hoc verbum in B deest.
35) C: τοῦτο.
36) Deest in B.
37) C: καί.
38) B: μεμηνότι.
39) Nov. cit. §. 12.
40) R: Κἂν δέ.
41) R: προρηθέντων.

του παῖδες εἴτε πάντες εἴτε εἷς μὴ σπουδάσαιεν τοῦτον ἀναῤῥύσασθαι, εἰ μὲν δυνηθῇ οὗτος [42]) τὴν τῆς αἰχμαλωσίας συμφορὰν ἐκφυγεῖν, ἐν τῇ αὐτοῦ εἶναι ἐξουσίᾳ, πότερον ταύτην [43]) ἀχαριστίας αἰτίαν τῇ ἰδίᾳ βούλοιτο ἐγγράψαι διαθήκῃ ἢ καὶ μή. εἰ δὲ διὰ τῆς τῶν παίδων ἀμελείας καὶ καταφρονήσεως μὴ ἐλευθερωθείη, ἀλλ' ἐν αἰχμαλωσίᾳ τελευτήσοι [44]), ἐκείνους εἰς τὴν αὐτοῦ διαδοχὴν ἐλθεῖν οὐκ ἀνεχόμεθα, οἵτινες οὐκ ἐσπούδασαν τῆς ἀναῤῥύσεως αὐτοῦ φροντίσαι· ἀλλὰ πάντων τῶν παίδων ἐπὶ τοῦτο [45]) ἀμελησάντων, πάντα τὰ πράγματα τὰ παρ' αὐτοῦ καταλιμπανόμενα τῇ ἐκκλησίᾳ τῆς πόλεως, ἐξ ἧς ὁρμᾶται, προσκυροῦσθαι [46]), καταγραφῆς δηλαδὴ ἐπὶ δημοσίου ἐκμαρτυρίου γενομένης, ὥστε μηδὲν ἐκ τῆς αὐτοῦ περιουσίας παραπολέσθαι, ἐφ' ᾧ πᾶν ὅπερ ἐντεῦθεν εἰς τὴν ἐκκλησίαν περιέλθοι εἰς ἀνάῤῥυσιν [47]) προχωρεῖν. ἀλλὰ ταῦτα μὲν ὅσον ἐπὶ τοῖς προσώποις εἴρηται, ἅπερ ἀπὸ κληρονόμων [48]) ποιεῖν οὐκ ἔξεστιν, εἰ μὴ τὰ τῆς ἀχαριστίας γραφῆναι καὶ ἀποδειχθῆναι συμβαίη [49]).

omnes vel unus non festinent eum liberare, si quidem ille captivitatis infortunium effugere poterit, in ipsius erit potestate, utrum velit hanc ingratitudinis causam testamento suo adscribere nec ne. Sed si per liberorum negligentiam ac contemtum non liberetur, sed in captivitate moriatur, hos ad successionem ejus venire haud patimur, quippe qui curam redemtionis habere non studuerint: sed si omnes liberi hac in re negligenter egerint, omnia bona ab eo relicta ecclesiae urbis, unde oriundus est, addicantur, inventario scilicet cum publica attestatione faciendo, ne quidquam ex illius patrimonio pereat, quo omnia, quae inde ad ecclesiam pervenerint, in redemtionem impendantur. Sed haec quidem quantum ad personas dictum est, quas exheredare non licet, nisi ingratitudinis causas et exprimi et probari eveniat.

42) B: δυνηθείη αὐτός.
43) B: τούτων.
44) R: τελευτήσειεν.
45) B: τούτῳ.
46) Bodlej. 3399: προσκυρούσθω.
47) Idem: εἰς αἰχμαλώτων ἀνάῤῥυσιν
48) R: ἀποκληρονόμον. Bodlej. 3399: ἀποκληρονόμους.
49) Nov. cit. §. 13.

ια΄. Εἰ δὲ ἐκεῖνος ὁ [50]) ἐν αἰχμαλωσίᾳ ληφθεὶς παῖδας μὴ ἔχοι, καὶ τῶν ἄλλων των εἰς τὴν τούτου κληρονομίαν καλουμένων ἐξ ἀδιαθέτου ἀναῤῥύσασθαι αὐτὸν μὴ σπουδαζόντων, ἐν τῇ αἰχμαλωσίᾳ τελευτήσοι [51]), μηδένα ἐκ τῶν ἀμελησάντων εἰς τὴν τούτου κληρονομίαν ἔρχεσθαι, εἰ καὶ πρὸ τῆς αἰχμαλωσίας διαθήκη τυχὸν παρ᾽ αὐτοῦ ἐγεγόνει, ἐν ᾗ τὰ μνημονευθέντα πρόσωπα ἔγραψε κληρονόμους. ἀλλὰ καὶ ἐνταῦθα τῆς ἐνστάσεως τῶν κληρονόμων ἀκυρουμένης καὶ τῶν λοιπῶν τῆς διαθήκης κεφαλαίων ἐν τῇ ἰδίᾳ μενόντων ἰσχύϊ, αἱ περιουσίαι τῶν τοιούτων προσώπων κατὰ τὸν ὅμοιον τρόπον ταῖς ἐκκλησίαις τῶν πόλεων, ἐξ ὧν ὥρμηνται, προσκυρούσθωσαν· καὶ μὴ ἐν ἄλλαις οἱαισοῦν αἰτίαις, ἀλλ᾽ ἐν ταῖς [52]) τῶν αἰχμαλώτων ἀναῤῥύσεσι δαπανᾶσθαι, ὥστε ὅθεν ἐκεῖνοι ὑπὸ τῶν ἰδίων οὐκ ἀνεῤῥύσθησαν, τὰς ἄλλων [53]) ἀναῤῥύσεις φροντίζεσθαι, καὶ τὰς ἐκείνων ὁμοίως ψυχὰς ἐκ ταύτης τῆς εὐσεβοῦς πράξεως ἐπικουφίζεσθαι. τούτου αὐτοῦ παραφυλαττομένου κἂν εἰ [54]) ἄλλο ἐξωτικὸν πρόσωπον πρὸ τῆς αἰχμαλωσίας γράψειε κληρονόμον, κἀκεῖνος εἰ-

11. Si vero qui captivus detinetur, liberos non habeat, et ceteris, qui ad hereditatem ejus ab intestato vocantur, eum redimere cessantibus, in captivitate moriatur, nemo eorum, qui eum neglexerunt, ad ejus hereditatem veniat, etiamsi ante captivitatem forte testamentum ab eo factum sit, in quo memoratas personas scripserit heredes. Sed et hic rescissa institutione heredum et reliquis testamenti capitibus in suo manentibus robore, patrimonia harum personarum simili modo ecclesiis urbium, unde oriundae sunt, addicantur, neque in alias quascunque causas extra quam in captivorum redemtiones impendantur: ut unde illi a suis non fuerunt redemti, aliorum redemtiones procurentur, atque illorum similiter animae ex religioso hoc actu subleventur. Eodem observando, etsi aliam quam personam

50) Verba ἐκεῖνος ὁ in C desunt.

51) B: τελευτήσειε.

52) B: ἀλλὰ ταῖς.

53) B: ἄλλας. Bodl. 3399: τῶν ἄλλων.

54) C: εἰς.

δὼς ἑαυτὸν ὑπ᾽ ἐκείνου γεγράφθαι κληρονόμον, ἀναῤῥύσασθαι δὲ [55]) τοῦτον ἐκ τῆς αἰχμαλωσίας ἀμελήσοι. ταύτην δὲ τὴν [56]) ποινὴν κατ᾽ ἐκείνων κρατεῖν θεσπίζομεν, οἵτινες τὸν ιη΄ τῆς ἑαυτῶν ἡλικίας ἐπλήρωσαν ἐνιαυτόν [57]).

ιβ΄. Ἐν δὲ ταῖς τοιαύταις αἰτίαις [58]) ἡνίκα ὑπὲρ ἀναῤῥύσεως αἰχμαλώτων ἀναγκαῖόν ἐστι χρήματα δοθῆναι, εἴ τις ἴδια μὴ ἔχοι χρήματα, ἄδειαν ἐχέτω, εἴπερ τῆς εἰρημένης ὑπάρχῃ ἡλικίας, δανείζεσθαι χρήματα, καὶ πράγματα κινητὰ ἢ ἀκίνητα ὑποτίθεσθαι, εἴτε ἴδια ἔχοι, εἴτε τὰ τοῦ ἐν αἰχμαλωσίᾳ κρατουμένου· ἐπειδὴ ἐν τοῖς εἰρημένοις ἅπασι τοῖς ὑπὲρ ἀναῤῥύσεως αἰχμαλώτων δίδοσθαι ἢ ἀναλίσκεσθαι [59]) δεικνυμένοις τὰ τοιαῦτα συναλλάγματα ὡς παρὰ προσώπου αὐτεξουσίου καὶ τελείας ἡλικίας ὄντος γενόμενα βέβαια εἶναι παρακελευόμεθα· μηδενὸς τοῖς [60]) μετὰ τῶν τοιούτων προσώπων ἐπὶ ταῖς μνημονευθείσαις αἰτίαις, καθάπερ εἴρηται, συναλλάττουσι προκρίματος γινομένου, ἀνάγκην δηλαδὴ ἔχοντος τοῦ ἐκ τῆς αἰχμα-

extraneam ante captivitatem scripserit heredem, atque illa sciens se ab eo scriptam heredem ipsum tamen ex captivitate redimere neglexerit. Hanc vero poenam adversus eos obtinere volumus, qui decimum et octavum aetatis suae annum impleverunt.

12. In hujusmodi vero causis ubi ad redemtionem captivorum necesse est pecuniam erogari, si quis pecuniam ipse non habeat, liceat ei, si dictae sit aetatis, pecuniam sumere mutuam, et res mobiles aut immobiles obligare, sive proprias habeat, sive illius, qui in captivitate detinetur: quandoquidem in omnibus praedictis, quae pro redimendis captivis data aut impensa probabuntur, ejusmodi contractus tanquam a sui juris et perfectae aetatis persona celebratos ratos esse jubemus: nullo inde praejudicio iis orituro, qui cum hujusmodi personis super memoratis causis, ut dictum est,

55) In C deest.
56) C: τὴν αὐτὴν δὲ ποινήν.
57) Nov. §. 13 laud.
58) C αἰτίαις non habet.
59) Bodl. 3399: ἀναλύσεως.
60) In C deest.

λωσίας ἐπανερχομένου τὰ τοιαῦτα συναλλάγματα [61]) βέβαια ἡγεῖσθαι καὶ τούτοις ὡς ἰδίοις ὀφλήμασιν ἐνέχεσθαι [62]).

ιγ΄. Εἴ τις ἐκ τῶν μνημονευθέντων γονέων ὀρθόδοξος ὑπάρχων αἴσθηται τὸν ἴδιον παῖδα ἢ παῖδας μὴ εἶναι τῆς καθολικῆς πίστεως μηδὲ ἐν τῇ ἁγιωτάτῃ ἐκκλησίᾳ κοινωνεῖν, ἐν ᾗ πάντες οἱ μακαριώτατοι πατριάρχαι μιᾷ συμπνοίᾳ καὶ ὁμονοίᾳ τὴν ὀρθοδοξοτάτην [63]) πίστιν κηρύσσειν, καὶ τὰς ἁγίας ἑπτὰ συνόδους, τὴν ἐν νικαίᾳ πρώτην, τὴν ἐν κωνσταντινουπόλει πρώτην, τὴν ἐν ἐφέσῳ πρώτην, τὴν ἐν χαλκεδόνι, τὴν ἐν κωνσταντινουπόλει δευτέραν, ὡσαύτως καὶ τὴν ἐν κωνσταντινουπόλει [64]) τρίτην, καὶ τὴν ἐν νικαίᾳ τὸ δεύτερον [65]) περιπτύσσεσθαι ἤγουν ἀναφέρειν γινώσκονται, καὶ διαμένωσιν οἱ τοιοῦτοι παῖδες ἐν τῇ αὐτῇ [66]) ἀπιστίᾳ, δίδομεν τοῖς αὐτῶν γονεῦσιν ἄδειαν ὑπὲρ ταύτης μάλιστα τῆς αἰτίας ἀχαρίστους αὐτοὺς καὶ ἀποκληρονόμους ἐν τῇ ἰδίᾳ γράφειν διαθήκῃ. καὶ

contrahunt: quum nimirum necesse sit, ut ex captivitate rediens tales contractus ratos habeat iisque ut propriis debitis obligetur.

13. Si quis dictorum parentum, quum ipse sit orthodoxus, intellexerit, liberum suum vel liberos non esse catholicae fidei neque in sacrosancta ecclesia communicare, in qua omnes beatissimi patriarchae uno spiritu et consensu orthodoxissimam fidem praedicare, et sanctas septem synodos, Nicaenam primam, Constantinopolitanam primam, Ephesinam primam, Chalcedonensem, Constantinopolitanam secundam, item Constantinopolitanam tertiam, et Nicaenam secundam amplecti et tueri deprehenduntur, et liberi in eadem infidelitate perseverent, parentibus licentiam damus propter hanc vel maxime causam ingratos eos atque exheredes in suo

61) C non habet.
62) Nov. §. 13 cit.
63) B: ὀρθόδοξον ταύτην.
64) Verba τὴν ἐν κωνσταντινουπόλει B non habet.
65) B: δευτέραν.
66) B: τοιαύτῃ. Bodl. 3399: αὐτῶν.

ταῦτα μὲν περὶ ἀχαριστίας τὰ αἴτια [67]) *διετυπώσαμεν* [68]).

ιδ'. Γενικὴν δὲ πρόνοιαν τοῖς παισὶ τοῖς ὀρθοδόξοις παρέχοντες κελεύομεν, σῴων φυλαττομένων τῶν νόμων τῶν ἤδη περὶ τῶν [69]) αἱρετικῶν προενεχθέντων, καὶ περὶ [70]) τοὺς νεστοριανοὺς καὶ τοὺς ἀκεφάλους, ὡσαύτως δὲ καὶ περὶ τοὺς ἰακωβίτας καὶ μονοθελήτας ἢ [71]) εἰκονομάχους, καὶ ὅσαι ἄλλαι αἱρέσεις εἰσὶ παρὰ τῆς καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας ἀποκηρυσσόμεναι, καὶ ταύτας [72]) φωραθεῖέν τινες ἐνεχόμενοι, τὰ αὐτὰ περὶ τούτους [73]) ἅπαντας ἀπαραβάτως φυλάττεσθαι· ὥστε εἴποτε γονεῖς εὑρεθεῖεν μιᾷ τῶν ἀπηριθμημένων αἱρέσεων ἢ καὶ ἑτέρᾳ τινὶ τούτων παραπλησίᾳ κατεχόμενοι καὶ διὰ τοῦτο ἐκ τῆς κοινωνίας τῆς καθολικῆς ἐκκλησίας κεχωρισμένοι, μὴ ἐξῇ [74]) αὐτοὺς [75]) κληρονόμους ἑαυτοῖς ἐνιστᾶν, εἰ μὴ παῖδας

testamento scribere. Et has quidem ingratitudinis causas esse statuimus.

14. Generalem vero liberis orthodoxis providentiam exhibentes jubemus, salvis legibus, quae jam de haereticis sunt latae, circa Nestorianos et Acephalos, nec non circa Jacobitas et Monotheletas vel Iconomachos, et si quae aliae sunt haereses a catholica et apostolica ecclesia declaratae, hisque aliqui adfecti esse comperiantur, eadem circa hos omnes inviolabiliter observari: ita ut, si parentes inveniantur uni enumeratarum haeresium aut etiam alii his adfini addicti atque ideo a communione catholicae ecclesiae segregati, iis non liceat sibi heredes instituere, nisi liberos orthodoxos

67) C: *καὶ τοῦτο μέν κ. τ. λ.* R: *ἐπὶ ἀχαριστίας αἰτίᾳ.* Bodlej. 3399: *καὶ ταῦτα μὲν περὶ ἀχαριστίας διετυπώσαμεν*

68) Nov. laud. §. 14.

69) Deest in B.

70) R: *περί τε τῶν νεστοριανῶν καὶ ἀκεφάλων, ὡσαύτως καὶ ἰακωβιτῶν κ. τ. λ.* Et ita hunc locum intellexisse videtur Reitzius: ego vero verba *καὶ περὶ τοὺς νεστοριανοὺς* sqq. non a voce *νόμων* pendere, sed ad *φυλάττεσθαι* referenda esse censui, et ita verti.

71) R et Bodlej. 3399: *καί.*

72) B: *εἰ καὶ ταύταις.*

73) C: *τούς.*

74) B: *ἐξεῖναι.*

75) B: *αὐτοῖς ἄλλους.* Bod-

ὀρθοδόξους καὶ τῇ καθολικῇ ἐκκλησίᾳ κοινωνοῦντας, ἢ παίδων μὴ ὑπόντων τοὺς ἐξ ἀῤῥενογονίας ἢ θηλυγονίας συγγενεῖς, ὀρθοδόξους δηλαδὴ τυγχάνοντας [76]).

ιε'. Εἰ δὲ ὡς εἰκὸς ἐκ τῶν παίδων τινὲς μέν εἰσιν ὀρθόδοξοι καὶ τῇ καθολικῇ ἐκκλησίᾳ κοινωνοῦντες, ἄλλοι δὲ ἐκ ταύτης κεχωρισμένοι, πᾶσαν τὴν τῶν γονέων περιουσίαν εἰς τοὺς παῖδας καὶ μόνον [77]) τοὺς ὀρθοδόξους περιέρχεσθαι θεσπίζομεν, εἰ καὶ τελευταίας βουλήσεις τὰ τοιαῦτα πρόσωπα ποιήσαιτο [78]) παρὰ τὴν δύναμιν ταύτης ἡμῶν τῆς διατάξεως διατυπούσας. εἰ δὲ μετὰ ταῦτα οἱ ἀδελφοὶ οἱ τῆς ἐκκλησίας [79]) κεχωρισμένοι ἐπὶ ταύτην ἀναστρέψουσι [80]), τὸ ἁρμόττον αὐτοῖς μέρος ἐν τῷ σχήματι, ἐν ᾧ εὑρεθείη κατὰ τὸν χρόνον, ὃν [81]) ἀποδίδοται, τούτοις παρέχεσθαι, ὡς μηδεμίαν περὶ τῶν καρπῶν ἢ τῆς διοικήσεως τοῦ μέσου χρόνου ὄχλησιν ἢ ἐπάχθειαν τοὺς ὀρθοδόξους ὑπομένειν τοὺς πρῴην τὰ μνημονευθέντα [82]) πράγματα διακρατήσαντας· ἐπειδὴ τῶν τοιούτων πραγμάτων, ἅτινα

et catholicae ecclesiae communicantes, aut liberis non extantibus, agnatos et cognatos, qui orthodoxi scilicet fuerint.

15. Si tamen forte ex liberis quidam sint orthodoxi et catholicae ecclesiae communicantes, alii vero ab ea separati, omnem parentum substantiam ad solos liberos orthodoxos pervenire volumus, etiamsi hujusmodi personae ultimas voluntates confecerint contra tenorem hujus nostrae constitutionis quid ordinantes. Quodsi postea fratres ab ecclesia separati ad eam revertantur, competens iis portio in eo statu, in quo invenitur quo tempore iis redditur, praebeatur, ut ne ullam de fructibus, aut administratione medii temporis molestiam vel gravamen orthodoxi patiantur, qui res memoratas antea tenuerunt: siquidem talium rerum,

lej. 3399: αὐτοὺς ἄλλους κλ. ἑαυτοῖς.

76) Nov. cit. §. 14.

77) B: μόνους.

78) B: ποιήσαιντο.

79) Verba τῆς ἐκκλησίας in C desunt.

80) B: ἐπιστρέψουσι.

81) B: καθ' ὅν.

82) B: διαμνημ.

ἐκ τῆς μοίρας τῶν ἀδελφῶν τῶν μὴ κοινωνούντων οἱ ὀρθόδοξοι ἐκτήσαντο, ὥσπερ τὴν ἐκποίησιν κωλύομεν [83], *οὕτω καὶ τῶν παρελθόντων χρόνων τοὺς καρποὺς ἢ τὴν διοίκησιν οὐδαμῶς παρὰ τούτων, ὑφ᾽ ὧν διεκρατήθη, εἰσπράττεσθαι ἢ ἀναψηλαφᾶσθαι κελεύομεν. εἰ δὲ μέχρι τοῦ πέρατος τῆς ἰδίας ζωῆς ἐν τῇ αὐτῇ πλάνῃ οἱ μὴ κοινωνοῦντες διαμένοιεν* [84], *τότε τοὺς ὀρθοδόξους ἀδελφοὺς ἢ κληρονόμους αὐτῶν πληρεστάτῳ δεσποτείας δικαίῳ τὰ αὐτὰ πράγματα κεκτῆσθαι θεσπίζομεν. εἰ δὲ οἱ παῖδες μὲν πάντες διεστραμμένοι* [85] *καὶ τῆς κοινωνίας τῆς καθολικῆς ἐκκλησίας ἀλλότριοι εὑρεθεῖεν, ἄλλοι δὲ ἐγγύτατοι συγγενεῖς ἐξ ἀῤῥενογονίας ἢ θηλυγονίας τὴν ὀρθόδοξον πίστιν τιμῶντες καὶ κοινωνικοὶ εἶεν καὶ ἀποδειχθεῖεν, τούτους τῶν παίδων* [86] *τῶν αἱρετικῶν προτιμᾶσθαι καὶ τὴν αὐτῶν διαδέχεσθαι κληρονομίαν. εἰ δὲ καὶ* [87] *οἱ παῖδες καὶ οἱ ἐγγύτατοι συγγενεῖς ἐκ* [88] *τῆς κοινωνίας τῆς ὀρθοδόξου πίστεως ξένοι τυγχάνοιεν, τηνικαῦτα εἰ μὲν σχῆμα κληρικῶν* [89] *οἱ γονεῖς αὐτῶν ἔχοιεν, τῇ ἐκκλησίᾳ τῆς πόλεως, ὅπου*

quas ex fratrum non communicantium portione orthodoxi sunt nacti, alienationem sicuti prohibemus, ita quoque praeteriti temporis fructus atque administrationem nequaquam ab his, qui eas possederunt, exigi et retractari jubemus. Sed si usque ad finem vitae non communicantes in eodem errore perseverent, tunc orthodoxos fratres eorumve heredes plenissimo dominii jure easdem res possidere volumus. Quodsi liberi omnes perversi atque a communione catholicae ecclesiae alieni inveniantur, ceteri autem proximi agnati vel cognati orthodoxae fidei cultores et participes sint et esse probentur, hi liberis haereticis anteferentur eorumque hereditatem accipient. Si et liberi et cognati proximi a communione orthodoxae fidei alieni fuerint, tunc, si parentes eorum conditionem clericorum habuerint, ad

83) B: *ἐκωλύομεν.*
84) B: *διαμείνοιεν.*
85) Bodlej. 3399: *διϊστάμενοι.*
86) Verba *τῶν παίδων* in R desunt.
87) Deest in R.
88) Deest in B.
89) L et Bodlej. 3399: *κληρικόν.*

τὴν οἴκησιν εἶχον, τὰ αὐτὰ πράγματα βουλόμεθα διαφέρειν· οὕτω μέντοι [90]) ὥστε εἰ οἱ ἐκκλησιαστικοὶ ἐντὸς ἐνιαυτοῦ προθεσμίας τὰ τῶν τοιούτων προσώπων πράγματα διεκδικῆσαι ἀμελήσαιεν, τὴν αὐτῶν δεσποτείαν τῷ ἡμετέρῳ ταμιείῳ ἐκδικεῖσθαι. εἰ δὲ λαϊκοὶ ὦσι, δίχα τινὸς διακρίσεως τὰς αὐτῶν περιουσίας εἰς τὸ θεῖον ἡμῶν ἰδικὸν ὁμοίως περιέρχεσθαι. ἅτινα κρατεῖν θεσπίζομεν καὶ εἰ χωρὶς διαθήκης τὰ τοιαῦτα πρόσωπα τελευτήσοι [91]). πάντων τῶν κατὰ τῶν λοιπῶν [92]) αἱρετικῶν ἐν ταῖς ἄλλαις διατάξεσι διατυπωθέντων καὶ κατὰ τῶν νεστοριανῶν καὶ ἀκεφάλων καὶ τῶν ἄλλων ἁπάντων τῶν μὴ κοινωνούντων τῇ [93]) καθολικῇ ἐκκλησίᾳ, ἐν ᾗ αἱ προλεχθεῖσαι ἅγιαι ἑπτὰ σύνοδοι καὶ πατριάρχαι ἀναφέρονται, καὶ κατὰ τῶν αὐτῶν κληρονόμων ὁμοίως φυλαττομένων. εἰ γὰρ ὑπὲρ κοσμικῶν αἰτιῶν μεριμνῶμεν, πόσῳ μᾶλλον ὑπὲρ τῆς τῶν ψυχῶν σωτηρίας προνοητικωτάτην φροντίδα δεῖ συνεισφέρειν; [94])

ις'. Εἰ τοίνυν πάσας τὰς εἰρημένας τῆς ἀχαρι-

ecclesiam urbis, ubi domicilium habebant, bona illorum pertinere volumus: sic tamen, ut, si ecclesiastici intra anni intervallum bona harum personarum vindicare neglexerint, dominium illorum nostro aerario applicetur. Sed si laici fuerint, sine ullo discrimine bona eorum ad sacrum nostrum patrimonium similiter perveniant. Quae obtinere volumus, etsi sine testamento hujusmodi personae obierint. Omnibus, quae adversus ceteros haereticos in aliis constitutionibus sunt sancita, et adversus Nestorianos et Acephalos aliosque omnes cum catholica ecclesia non communicantes, in qua praedicta sancta septem concilia et patriarchae censentur, et adversus heredes eorum similiter observandis. Si enim pro causis mundanis laboramus, quanto magis pro animarum salute providissimam curam impendere oportet.

16. Itaque si omnes praedictas ingratitudinis causas

90) R: μέντοιγε.
91) B: τελευτήσειεν.
92) B: πάντων τῶν κατα-λοίπων.
93) Bodlej. 3399: τῇ ἁγίᾳ.
94) Nov. cit. §. 14.

στίας αἰτίας εἴτε φανερὰς [95]) ἐξ αὐτῶν εἴτε μίαν οἱανδήποτε οἱ γονεῖς τῇ ἰδίᾳ ἐγγράψοιεν [96]) διαθήκῃ, καὶ οἱ γραφόμενοι κληρονόμοι τὰς ὀνομασθείσας αἰτίας ἢ μίαν ἐξ αὐτῶν ἀληθῆ εἶναι δείξαιεν, τὴν διαθήκην τὴν ἰδίαν ἔχειν ἰσχὺν παρακελευόμεθα [97]).

ιζ'. Εἰ δὲ ταῦτα μὴ παραφυλαχθείη [98]), μηδὲ ἐν γίνεσθαι [99]) πρόκριμα τοῖς ἀπὸ κληρονόμων γραφεῖσιν [100]), ἀλλ' ὅσον εἰς τὴν ἔνστασιν τῶν κληρονόμων ἀνήκει [101]) τῆς διαθήκης ἀκυρουμένης [102]) εἰς τὴν τῶν γονέων κληρονομίαν τοὺς παῖδας τοὺς ἐξ ἀδιαθέτου ἐξ ἴσης μοίρας ἔρχεσθαι, ὥστε μὴ τοὺς παῖδας πεπλασμέναις κατηγορίαις κατακρίνεσθαι, μήτε τινὰ περιγραφὴν ἐν ταῖς τῶν γονέων περιουσίαις ὑπομένειν. εἰ μέντοιγε συμβαίη ἔν τισι τοιαύταις διαθήκαις ἢ ληγάτα τινὰ ἢ καὶ τὰ πίστει τινὶ παρατεθέντα [103]) ἢ ἐλευθερίας ἢ ἐπιτρόπων δόσεις καταλειφθῆναι, ἢ ἄλλα οἱαδήποτε κε-

sive certas ex iis sive unam qualemcunque parentes suo adscripserint testamento, et heredes scripti expressas causas aut unam earum veram esse ostenderint, testamentum suum robur obtinere jubemus.

17. Sin autem haec non fuerint observata, ne liberis exheredibus scriptis praejudicium fiat, sed quantum ad institutionem heredum pertinet, liberi irrito testamento rursus ad parentum hereditatem ab intestato ex aequali portione veniant, ut ne liberi fictis accusationibus condemnentur, aut ullam in parentum bonis circumscriptionem sustineant. Si tamen in hujusmodi testamentis vel legata vel fideicommissa vel libertates vel tutorum dationes relinqui, aut alia quaecunque ca-

95) Bodlej. 3399: τινάς.
96) B: ἐγγράψαιεν.
97) Nov. l. l.
98) Bodlej. 3399: φυλαχθῇ.
99) Idem: μηδὲν γίνεσθαι. B: μηδὲ ἐγγίνεσθαι.
100) R: τοῖς ἀποκληρονόμοις γραφεῖσι παισίν.
101) **Reitzius** verbum ἀνήκει ex Nov. restituit: Prochiri Codices omnes habent: πάλιν ἥκειν. **Reitzium** sequutus sum, quamquam vitium etiam infra in verbis: τοὺς παῖδας τοὺς ἐξ ἀδιαθέτου latere possit, ubi Nov. alterum τοὺς omittit.
102) R: ἀναιρουμένης.
103) Bodlej. 3399: καταλιμπανόμενα.

φάλαια τοῖς νόμοις ἐγνωσμένα ὀνομασθῆναι, ταῦτα πάντα κελεύομεν πληροῦσθαι καὶ δίδοσθαι ἐκείνοις, οἷς κατελείφθη, ὡς εἰ κατὰ τοῦτο τὸ μέρος μὴ ἀνατραπεῖσα ἡ διαθήκη ἐκράτει [104]).

ιη'. Καὶ ταῦτα μὲν περὶ τῶν διαθηκῶν τῶν γονέων διετυπώσαμεν. δίκαιον δὲ εἶναι συνείδομεν καὶ ἐκ τοῦ ἐναντίου περὶ τῶν διαθηκῶν τῶν παίδων τὰ αὐτὰ μετά τινος διαστίξεως [105]) διατυπῶσαι. θεσπίζομεν τοίνυν, μὴ ἐξεῖναι τοῖς παισὶ τοὺς ἰδίους γονεῖς ἀποκλήρους καταλιμπάνειν, ἢ καθ' οἱονδήποτε τρόπον τῶν ἰδίων πραγμάτων, ἐν οἷς διατίθεσθαι ἐξουσίαν ἔχουσι, τούτους παντελῶς ἀλλοτρίους ποιεῖσθαι, εἰ μὴ τὰς αἰτίας, ἃς ἀριθμοῦμεν, ἐν [106]) ταῖς ἰδίαις ἰδικῶς [107]) ἐγγράψοιεν [108]) διαθήκαις [109]).

ιθ'. Ταύτας δὲ εἶναι κελεύομεν [110]) εἰ οἱ γονεῖς εἰς ἀναίρεσιν ζωῆς τοὺς ἰδίους παῖδας παραδοῖεν, δίχα μέντοιγε αἰτίας εἰς καθοσίωσιν ἀναφερομένης [111]).

pita legibus cognita nominari contigerit, haec omnia impleri volumus, iisque praestari, quibus relicta sunt, perinde ac si testamentum hac in parte non rescissum valeret.

18. Et haec quidem de testamentis parentum statuimus. Aequum vero censemus ex diverso quoque de testamentis liberorum eadem cum quadam distinctione statuere. Sancimus igitur, ne liberis liceat parentes suos exheredare, aut quoquo modo rebus suis, de quibus testandi jus habent, omnino alienos facere, nisi causas, quas enumerabimus, suis specialiter testamentis adscripserint.

19. Has autem esse jubemus: Si parentes liberos suos ad vitae amissionem tradiderint, praeter causam ad majestatis crimen spectantem.

104) Nov. l. l.
105) C: διατάξεως.
106) Bodl. 3399: ποιεῖσθαι, ἢ μετὰ αἰτίας ἃς ἀριθμ. εἰ ἐν ταῖς κ. τ. λ.
107) Deest in B.
108) B: ἐγγράψαιεν.
109) Nov. cit. cap. 3 §. 14 in fine et cap. 4 pr.
110) Verba: Ταύτας — κελεύομεν P non habet.
111) L: ἀναφαινομένης. — Nov. cit. §. 1.

κ'. Εἰ φαρμακείαις ἢ γοητείαις ἢ ἄλλῳ τρόπῳ οἱ γονεῖς τῇ τῶν παίδων ζωῇ ἐπιβουλεύσαντες ἀποδειχθεῖεν [112]).

κα'. Εἰ ὁ πατὴρ τῇ ἰδίᾳ νύμφῃ ἢ τῇ παλλακῇ τοῦ ἰδίου παιδὸς συμμιγείη [113]).

κβ'. Εἰ οἱ γονεῖς τοὺς ἰδίους παῖδας διαθήκας ποιήσασθαι κωλύσαιεν ἐν τοῖς πράγμασιν, ἐν οἷς ἔχουσιν ἄδειαν τοῦ διατίθεσθαι· πάντων δηλαδὴ τῶν ἐπὶ τῇ κωλύσει τῶν τοιούτων διαθηκῶν φυλαττομένων, ἅπερ ἐπὶ τῷ τῶν γονέων διεστίξαμεν προσώπῳ [114]).

κγ'. Εἰ συμβῇ [115]) τὸν ἄνδρα τῇ ἑαυτοῦ γαμετῇ ἢ εἰς ἀναίρεσιν ἢ εἰς ἔκστασιν τῆς διανοίας δοῦναι φάρμακον, ἢ τὴν γαμετὴν τῷ ἀνδρὶ, ἢ ἄλλῳ τρόπῳ τὸν ἕτερον τῇ τοῦ ἑτέρου ζωῇ ἐπιβουλεῦσαι, τὸ μὲν [116]) τοιοῦτον ἔγκλημα οἷα [117]) πούβλικον ὑπάρχον κατὰ τοὺς νόμους ἐξετάζεσθαι καὶ νομίμης ἐκδικήσεως ἀξιοῦσθαι θεσπίζομεν, τοῖς δὲ παισὶν ἄδειαν εἶναι ταῖς ἰδίαις

20. Si veneficiis aut maleficiis aut alio modo parentes liberorum vitae esse insidiatos demonstratum fuerit.

21. Si pater cum sua nuru aut filii concubina rem habuerit.

22. Si parentes liberos suos testamenta facere prohibuerint in his rebus, in quibus testandi licentiam habent; omnibus scilicet in prohibitione hujusmodi testamentorum observandis, quae super parentum persona cum distinctione statuimus.

23. Si contigerit virum uxori suae aut ad interitum aut ad mentis emotionem medicamentum dedisse, vel uxorem marito, aut alio modo alterutrum alterius vitae insidiatum esse, tale quidem crimen utpote publicum secundum leges inquiri et condigna ultione vindicari praecipimus: liberis autem facultatem dari, in

112) Nov. cit. §. 2.
113) Nov. cit. §. 3.
114) Nov. cit. §. 4. — Cf. supra cap. 6 hujus tituli.
115) B: συμβαίη.
116) Deest in B.
117) Deest in C et B.

διαθήκαις μηδὲν ἐκ τῶν ἰδίων περιουσιῶν ἐκείνῳ τῷ προσώπῳ καταλιμπάνειν, τῷ τὸ τοιοῦτον μῦσος πεπραχέναι [118]) γινωσκομένῳ [119]).

κδ'. Εἰ τῶν παίδων ἢ [120]) ἑνὸς ἐξ αὐτῶν ἐν μανίᾳ τυγχάνοντος οἱ γονεῖς φροντίσαι αὐτῶν ἀμελήσαιεν, πάντα καὶ ἐνταῦθα παραφυλάττεσθαι προστάσσομεν [121]), ἅτινα περὶ τῶν μαινομένων γονέων ἀνωτέρω ἐθεσπίσαμεν [122]).

κε'. Τούτοις τοῖς θέμασι καὶ τὴν τῆς αἰχμαλωσίας συμφορὰν προστίθεμεν, ἐν ᾗ εἰ [123]) τοὺς παῖδας κρατεῖσθαι [124]) καὶ διὰ τῆς τῶν γονέων καταφρονήσεως ἢ ἀμελείας μὴ ἀναῤῥυσθέντας τελευτῆσαι συμβαίη, μηδαμῶς τοὺς τούτων γονεῖς εἰς τὰς περιουσίας ἔρχεσθαι τῶν παίδων, ἐφ' αἷς [125]) διατίθεσθαι οἱ παῖδες ἠδύναντο, ἀλλὰ πάντα καὶ ἐν τούτῳ τῷ κεφαλαίῳ φυλάττεσθαι, ἅπερ καὶ περὶ γονέων καὶ περὶ [126]) συγγενῶν τῶν ἐξ ἀδιαθέτου εἰς τὰ τῶν τοιούτων προσώπων [127])

testamentis suis ex propriis bonis nihil relinquere ei personae, quae tantum scelus commisisse cognoscetur.

24. Si liberis aut uno ex iis in furore constitutis, parentes curam iis adhibere neglexerint, omnia et hic observari praecipimus, quae de parentibus furiosis supra disposuimus.

25. Hisce casibus etiam captivitatis infortunium adjicimus, in qua si liberos detineri, et propter parentum contemtum aut negligentiam non redemtos mori contigerit, parentes nequaquam ad liberorum bona veniant, de quibus hi testari poterant, sed et in hoc capite omnia serventur, quae de parentibus et de cognatis, qui in hujusmodi personarum jura ab intestato

118) R: μῖσος πατραχέναι.
119) Nov. cit. §. 5.
120) In B deest. C: ἢ ἐξ.
121) R: θεσπίζομεν.
122) R: τεθεσπίκαμεν. — Nov. cit. §. 6. — Cf. hujus tituli cap. 9.
123) C: εἰς.
124) Bodl. 3399: παρακρατ.
125) Idem: ἐν αἷς.
126) In C deest: sed rectius haec particula repetitur propter contradistinctionem.
127) Id est: γονέων.

δίκαια καλουμένων ἢ περὶ τῶν ἐξωτικῶν γραφομένων [128]) κληρονόμων ἀνωτέρω [129]) διετυπώσαμεν [130]).

κς'. Εἴ τις ἐκ τῶν μνημονευθέντων παίδων ὀρθόδοξος τυγχάνων αἴσθηται τὸν ἴδιον γονέα ἢ γονεῖς μὴ εἶναι ὀρθοδόξους, ταῦτα καὶ ἐπὶ ἐκείνων τῶν προσώπων κρατεῖν, ἅπερ ἀνωτέρω [131]) περὶ τῶν γονέων διετυπώσαμεν [132]).

κζ'. Εἰ τὰς τοιαύτας τοίνυν αἰτίας ἢ φανερὰς ἐξ αὐτῶν ἢ μίαν οἱ παῖδες ἐν ταῖς ἰδίαις ἐγγράψοιεν [133]) διαθήκαις, καὶ οἱ γραφόμενοι παρ' αὐτῶν κληρονόμοι ἢ πάσας φανερῶς ἢ μίαν ἐκ τούτων ἀποδείξαιεν ἀληθῆ [134]), τὴν διαθήκην ἐν τῇ ἰδίᾳ ἰσχύϊ διαμένειν προστάττομεν [135]).

κη'. Εἰ δὲ ταῦτα μὴ παραφυλαχθείη, μηδεμίαν δύναμιν τὴν τοιαύτην διαθήκην [136]) τόγε εἰς τὴν ἔνστασιν τῶν κληρονόμων ἔχειν θεσπίζομεν, ἀλλ' ἀνατρεπομένης τῆς διαθήκης τοῖς ἐξ ἀδιαθέτου εἰς τὴν τοῦ τε-

vocantur, aut de extraneis scriptis heredibus superius constituimus.

26. Si quis memoratorum liberorum, quum ipse sit orthodoxus, intellexerit patrem suum vel parentes non esse orthodoxos, eadem et in his personis locum habeant, quae superius circa parentes sanximus.

27. Itaque si hujusmodi causas aut certas ex iis aut unam liberi suis adscripserint testamentis, scriptique ab his heredes aut omnes manifesto aut unam ex his veram ostenderint, testamentum in suo robore permanere praecipimus.

28. Sin autem haec non fuerint observata, nullam vim illud testamentum quantum ad heredum institutionem habere sancimus, sed rescisso testamento iis, qui

128) B: καλουμένων.
129) Cf. supra cap. 10 — 12.
130) Nov. cit. §. 7.
131) Cf. supra cap. 13 — 15. — Mox B, rectius fortassis: ἐπὶ τῶν γονέων.
132) Nov. l. l. §. 8.
133) B: γράψαιεν.
134) Bodl. 3399 addit: εἶναι.
135) Nov. cit. §. 9.
136) Bodlej. 3399: ἐν τῇ τοιαύτῃ διαθήκῃ.

λευτήσαντος κληρονομίαν καλουμένοις τὰ ἐκείνου πράγματα δίδοσθαι τυποῦμεν [137]· τῶν λεγάτων δηλονότι καὶ τῶν πίστει παρ' αὐτοῦ διδομένων [138]) καὶ τῶν [139]) ἐλευθεριῶν καὶ τῶν δόσεων τῶν ἐπιτρόπων καὶ τῶν ἄλλων κεφαλαίων, καθάπερ ἀνωτέρω εἴρηται, τὴν [140]) ἰδίαν ἐχόντων ἰσχύν. εἴ τι δὲ περὶ λεγάτου ἢ πίστει τινὶ παρ' αὐτοῦ δοθέντος [141]) ἢ ἐλευθεριῶν ἢ ἄλλων οἱωνδήποτε κεφαλαίων ἄλλοις νόμοις εὑρεθείη ταύτῃ τῇ διατάξει ἐναντίον, τοῦτο κρατεῖν κατ' οὐδένα βουλόμεθα τρόπον. καὶ αὗται μὲν τῶν ἀποκλήρων [142]) αἱ ποιναί, τό γε εἰς τὰς τῆς ἀχαριστίας αἰτίας, κατὰ τῶν εἰρημένων προσώπων διετυπώθησαν· εἴ τινες δὲ ἐξ αὐτῶν εἰς ἐγκλήματα ἀναφέρονται, τοὺς τούτων πράκτορας [143]) καὶ τὰς ἄλλας ὑπομένειν ποινὰς τὰς τοῖς νόμοις διωρισμένας. ταῦτα δὲ διετυπώσαμεν, ἵνα καὶ τοὺς γονεῖς καὶ τοὺς παῖδας ἀπὸ τῆς τῶν διαθηκῶν ὕβρεως ἐλευθερώσωμεν [144]).

κθ'. Εἰ δέ τινες κληρονόμοι ὀνομασθεῖεν, κἂν εἰ

κζ'. Ἐάν τις πιπράσκων οἶκον εἴπῃ τῷ ἀγοραστῇ γενικῶς, ὅτι δουλείᾳ βεβάρηται ὁ οἶκος, οὐκ ἀναγκάζεται δουλείας ἐλεύθερον αὐτὸν παραδοῦναι. ὅθεν κἂν μὴ ἐδούλευσε, δύναται δουλείαν ἐπιτιθέναι, πρὸ μέντοι τῆς παραδόσεως, ἵνα ἢ οἴκῳ τοῦ πράτου δουλεύσῃ ἢ ἀλλοτρίῳ οἴκῳ. εἰ δὲ ὅ τε πιπράσκων ἰδικῶς εἴπῃ τῷ δεῖνι [71]) δουλεύει ὁ οἶκος, καὶ παραχωρήσει ἐκείνῳ τὴν δουλείαν, ζήτησιν οὐκ ἔχει [72]).

25. Non consistit hujusmodi species servitutis, ne mihi liceat in mea domo focum accendere aut lignorum struem incendere, et sedere aut lavare. Unde etiamsi haec conventa fuerint, secundum leges irrita sunt.

26. Quaecunque pacta vel contra leges vel contra bonos mores fiunt, ea nullum habere robur indubitati juris est.

27. Si quis domum vendens emtori generaliter dixerit, domum servitute gravatam esse, non cogitur eam servitute liberam tradere. Unde etiamsi non servierit, potest servitutem imponere, attamen ante traditionem, ita ut vel venditoris aedibus serviat, vel aedibus alienis. Quodsi venditor specialiter dixit, huic aut illi domum servit, atque ei servitutem concessit, controversiam non habet.

66) L et Bodlej. 3399: πῦρ ἀνάπτειν. R: πῦρ ἀνακαίειν.

67) C et Bodlej. 3399: κἂνταῦθα.

68) B: κατὰ νόμους ἐστίν. — P: βι. η' τί. ε' διατ. η' ἐν τέλει. — Dig. VIII, 5, 8 §. 6. — Harm. §. 118. — Bodlej. 3399 addit: διὰ τὸν κανόνα τὸν λέγοντα· cf. cap. sq.

69) B: ὑπεναντία νόμων.

70) Cod. II, 3, 6. — Harm. I, 9, 112. — In M hoc caput duobus sequentibus postponitur.

71) C, L et Bodlej. 3399: ὁ δεῖνα.

72) Dig. VIII, 4, 6 §. 3. — Harm. II, 4, 119.

κη'. Τοῦ [73]) μὴ ἐξεῖναί τινι καπνὸν ἀπὸ ποδοψείου [74]) ἢ καπνοδόχον [75]) βαλανείου ἐπιπέμπειν τῷ γείτονι, ἢ κόπρον ἢ ὕδωρ ῥίπτειν, εἶδος δουλείας ἐστίν [76]).

κθ'. Ἐὰν χρεωστῶ [77]) σοι δουλείαν τοῦ μὴ κτίσαι καὶ [78]) κτίσω, καὶ παρέλθῃ μακρὸς χρόνος, ἀναιρεῖταί σοι ἡ κατ' ἐμοῦ δουλεία διὰ τὸν χρόνον [79]).

λ'. Κλίμακα τοῦ κοινοῦ τοίχου πλησίον δύναμαι στῆσαι. οὐδεμία γὰρ ἐντεῦθεν προσγίνεται βλάβη διὰ τὸ τὴν ἀφαίρεσιν αὐτοῦ εὔκολον εἶναι [80]).

λα'. Ἐὰν χρεωστῇς μοι τοιαύτην δουλείαν, ὥστε μὴ ἐξεῖναί σε εἰς ὕψος αἴρειν τὴν σὴν οἰκίαν, ἵνα μὴ ἐμποδίσῃς τῷ φωτὶ τῆς ἐμῆς οἰκίας, ὅπερ [81]) διὰ τῶν θυρίδων τῶν οὐσῶν ἐν τῷ ἐμῷ οἴκῳ [82]) ἐχορηγεῖτό μοι·

28. Non licere alicui fumum ex [lavacro] vel caminum ex balneo immittere vicino, vel stercus aut aquam dejicere, species servitutis est.

29. Si tibi servitutem non aedificandi debeam et aedificaverim, et longum tempus praeterierit, perit tibi jus adversus me competens propter tempus.

30. Scalas prope murum communem statuere possum. Nullum enim inde damnum accidit, quia perfacile est eas removere.

31. Si hanc mihi servitutem debeas, ne tibi liceat aedes tuas altius tollere, ut ne lumini mearum aedium officias, quod mihi per fenestras, quae in aedibus meis erant, immittebatur: ego autem, cui haec servitus de-

73) R: Τό.

74) Haec vox quid sibi velit, non intelligo. Bodlej. 3399 et Epanagoges auctae quidem Codices legunt: ποδεψείου, quo forsan significatur lavacrum pedum. R habet: δεψείου. Ita apud Harmenopulum legitur, et vertit Mercerus: *ex officina coriaria.* Reitzius dubium reliquit.

75) C: καπνοδοῦχον. R: καπνοδόχου.

76) Dig. VIII, 5, 8 §. 7. — Harm. §. 120.

77) R: χρεωστῶν.

78) Deest in R.

79) C et Bodlej. 3399: διὰ τοῦ χρόνου. — Dig. XLI, 3, 4 §. 29. — Harm. §. 121.

80) Dig. VIII, 2, 19 §. 2. — Harm. §. 74.

81) C: ᾧπερ.

82) B: τοίχῳ.

ἐγὼ δὲ ἐποφειλόμενος τὴν δουλείαν ἐπὶ ι' ἢ κ' ἔτη ἥλωσα τὰς ἐμὰς θυρίδας ἢ ἀνῳκοδόμησα αὐτὰς τουτέστιν ἔφραξα, καὶ ἔμεινε τοῦτο τὸ σχῆμα ἐπὶ τῶν εἰρημένων χρόνων, τηνικαῦτα διαφθείρεται τὸ τῆς δουλείας δίκαιον, ἡνίκα ἀνύψωσας σὺ τὴν σὴν οἰκίαν, καὶ ἔμεινεν αὕτη εἰς ὕψος ἀρθεῖσα χρόνον δεκαετῆ ἢ εἰκοσαετῆ. ἰδοὺ γὰρ ἐνταῦθα κἀγὼ τῇ δουλείᾳ οὐκ ἐχρησάμην ἐν τῷ πεφραγμένας ἔχειν τὰς θυρίδας, καὶ σὺ σαυτῷ περιεποίησας τὴν ἐλευθερίαν τῷ ἀνυψῶσαί σε· δι' ὃ ἀπώλετό μοι ἡ δουλεία. εἰ μέντοι ἐμοῦ κεκλεισμένας ἔχοντος τὰς θυρίδας ἐπὶ τοσοῦτον χρόνον οὐδὲν ὑπὸ σοῦ γέγονε καινότερον, τουτέστιν οὐκ ἀνύψωσας τὸν σεαυτοῦ [83]) οἶκον, ἀκέραιός μοί ἐστιν ἡ δουλεία, καὶ ἐὰν ἀνοίξω τὰς θυρίδας μετὰ ι' ἢ κ' ἔτη, σὺ δὲ θέλεις ἀνυψῶσαι, δύναμαί σε κωλύειν [84]) διὰ τὸ προσόν μοι δίκαιον [85]).

λβ'. Ἐὰν παραχωρηθῇ μοι δουλεία, ὥστε ἐξεῖναί μοι τὰς ἐμὰς δοκοὺς τοῖς σοῖς ἐπιτιθέναι οἴκοις καὶ τὸν σὸν βαρύνειν τοῖχον, εἶτα ἀπεθέμην τὸν σὸν τρυ-

betur, per decennium vel vicennium fenestras meas praefixero aut obstruxero, id est obturavero, et hic status per dictos annos permanserit, tunc jus servitutis perit, si tu tuas aedes altius struxeris, illaeque altius sublatae per decennium vel vicennium permanserint. Ecce enim in hoc casu neque ego servitute usus sum, quum obturatas habuerim fenestras, et tu tibi libertatem altius tollendo acquisisti: itaque periit mihi servitus. Si vero, quum tanto tempore fenestras occlusas habuerim, nihil a te novi operis sit factum, hoc est si aedes altius non aedificaveris, salva mihi est servitus, et si post decem aut viginti annos fenestras aperiam, tu vero altius tollere velis, prohibere te possum ob jus mihi competens.

32. Si servitus mihi sit concessa, ut mihi liceat trabes meas tuis imponere aedibus tuumque gravare murum, atque ego perforato muro tuo trabes meas im-

83) C: ἑαυτοῦ.
84) B: κωλῦσαι.
85) Dig. eod. dig. 6. — Harm. §. 122.

πήσας τοῖχον ἐκεῖ τὰς ἐμὰς δοκοὺς, ἀφειλόμην δὲ μετὰ ταῦτα, καὶ δεκαετίαν [86]) *ἔμεινα μὴ ἀποτιθέμενος ἐν ταῖς γενομέναις ὀπαῖς τὰς ἐμὰς δοκούς· εἰ μὲν ἔμειναν αἱ ὀπαὶ οὕτως ἀνεῳγμέναι, ὥσπερ καὶ ἦσαν, ὅτε ἐλάμβανον* [87]) *τὰς ἐμὰς δοκοὺς, οὐδὲ εἷς σοι χρόνος περιποιήσει ἐλευθερίαν. εἰ δὲ ἐμοῦ τὰς δοκοὺς ἀφελομένου σὺ τὰς τρύπας ἔφραξας καὶ ἀνῳκοδόμησας αὐτὰς, καὶ μεθ' ὃ* [88]) *ἀνῳκοδόμησας ι' ἢ κ' ἔτη παρῆλθον, προσεγένετό σοι ἐλευθερία. διὰ τῆς χρήσεως γὰρ ἔλαβες τὴν δεσποτείαν ταύτην ἐπὶ τοσοῦτον χρόνον ἀνοικοδομηθείσας ἔχων τὰς ὀπάς. εἰ δὲ μηδὲν ποιήσας* [89]) *καινότερον, ἀλλ'* [90]) *εἴασας ταύτας ἐπὶ σχήματι, σώζεταί μοι διὰ παντὸς τὸ τῆς δουλείας δίκαιον, καὶ βουληθέντι μοι τυχὸν μετὰ ι' ἢ κ' ἔτη πάλιν ἀποθέσθαι τὰς δοκοὺς κατὰ τὸν σὸν τοῖχον ἐν ταῖς αὐταῖς ὀπαῖς οὐδὲν ἐναντιωθήσεται, διὰ τὸ μὴ κτήσασθαί σε ἐλευθερίαν ἐκ τοῦ* [91]) *χρᾶσθαι* [92]).

λγ'. Τῆς *ἐπὶ τάφον ἀγούσης* [93]) *ὁδοῦ οὐδέποτε ἡ*

posuero, sed postmodum exemero, neque per decennium in factis foraminibus trabes meas reposuero: si quidem foramina ita manserint aperta, ut erant, quum trabes meas eximerem, nullum tibi tempus libertatem parabit. Sed si tu, quum ego trabes exemissem, foramina obturaveris et obstruxeris, et postquam obstruxisti decem vel viginti anni praeterierint, acquisita tibi erit libertas. Usucapione enim hoc acquisisti dominium, quum tanto tempore foramina habueris obstructa. Quodsi nihil novi fecisti, sed illa in suo statu reliqueris, salvum mihi est omni tempore jus servitutis: et volenti mihi post decennium forte aut vicennium in tuum rursus murum immittere trabes in iisdem foraminibus, nihil obstabit, quia libertatem usu haud cepisti.

33. Itineris ad sepulcrum ducentis servitus nullo

86) B: *δέκα ἔτη.* C: *μετὰ δεκαετίαν.*

87) Fortassis vertere debuissem: *recipiebant.*

88) C: *ὅν*, scil. *χρόνον.*

89) Bodlej. 3399: *ἐποίησας.*

90) Deest in R.

91) P et R: *ἐκ τοῦ μὴ χρᾶσθαι.*

92) Dig. l. l. — Harmen. §. 123.

93) R: *ἀπαγούσης.*

δουλεία τῇ τοῦ χρόνου παραδρομῇ ἐκ τοῦ μὴ χρᾶσθαι φθείρεται [94].

λδ'. Ὅστις χωρὶς κελεύσεως βασιλικῆς καταπεμφθείσης τῷ ἐπάρχῳ τῆς πόλεως πολλὰς ῥύμας ἢ καὶ μέρη τούτων τοῖς ἰδίοις ἀναφράξει οἴκοις, ἢ καταχρήσεται ταῖς στοαῖς εἰς οἰκείαν χρῆσιν ἀφελὼν, ἀναμφισβητήτως [95] *τὰ ἀρχαῖα δίκαια τῇ πόλει ἀποδώσει* [96].

λε'. Ἐὰν εἰς τὸ ἐπίκοινον ῥεῖθρον εἷς τῶν κοινωνῶν δαπανήσῃ ἀνακαινίζων τοῦτο, ἕξει κατὰ τοῦ ἑτέρου τὴν ὑπὲρ αὐτοῦ [97] *μόνου τοῦ ἐπικοίνου πράγματος ἀγωγὴν ἀπαιτῶν τὸ γενόμενον δαπάνημα ἐφ' ἧς* [98] *ἀνήλωσεν* [99].

λϛ'. Ἐάν τίς σοι παραχωρήσῃ δίκαιον ἀντλήσεως εἰς τὸ διαφέρον αὐτῷ ὕδωρ, ἀναγκάζεταί σοι καὶ ἄκων δουλείαν τῆς ὁδοῦ παραχωρῆσαι, εἴπερ ἄλλως μὴ δύνασαι χρήσασθαι τῷ τῆς ἀντλήσεως δικαίῳ [100].

temporis lapsu non utendo perimitur.

34. Quisquis sine jussu principis ad praefectum urbis misso aliquos angiportus vel eorum partes aedificiis suis obstruxerit, aut porticibus abutatur in proprium auferens usum, sine controversia urbi vetera jura restituet.

35. Si in communem rivum reficiendum unus sociorum impensam fecerit, habebit adversus alterum de sola re communi actionem, ut repetat factam impensam pro parte, quam erogavit.

36. Si quis tibi jus hauriendi ex sua aqua concesserit, cogitur etiam invitus servitutem itineris tibi concedere, siquidem aliter hauriendi jure uti non potes.

94) P: *βι. η' τί. ϛ' διγ. δ'.* — Dig. VIII, 6, 4. — Harm. §. 124.

95) C et Bodlej. 3399: *ἀναμφισβήτως.*

96) R: *ἀποδίδωσιν.* Bodlej. 3399 addit: *καὶ ι'* (l. *ν'*) *λίτρας χρυσίου προστιμηθήσεται.* — P: *βι. ια'* (l. *η'*) *τοῦ κώδ. διατ. κ' τί. ια'.* — Cod. VIII, 11, 20. — Harm. §. 125.

97) C: *ὑπὲρ τοῦ αὐτοῦ.* Bodlej. 3399: *ἐπ' αὐτοῦ*

98) B: *ἐφ' οἷς.*

99) P: *βι. ιζ' τί. β' διγ. νβ' θέ. ιε'.* — Dig. XVII, 2, 52 §. 12. — Harm. §. 102.

100) P: *βι. η' τί. γ' διγ. γ' θέ. γ'.* — Dig. VIII, 3, 3. §. 3. — Harm. §. 103.

λζ'. Οὐκ ἔστι τινὶ σωλῆνας προσπλάσαι ἤτοι συζεῦξαι τῷ ἐπικοίνῳ τοίχῳ ὡς δι' αὐτῶν ἕλκειν ὕδωρ [101]).

λη'. Πᾶσα δουλεία καὶ πᾶσα χρῆσις ἐπὶ τῶν μὴ κεχρημένων διὰ τῆς τοῦ χρόνου παραδρομῆς, ἐπὶ μὲν παρόντων δεκαετίᾳ, ἐπὶ δὲ ἀπόντων εἰκοσαετίᾳ, ἀπόλλυται [102]).

λθ'. Ὁ καλῇ πίστει μὲν ἀγοράσας ἔδαφος, μετὰ δὲ τὸ γνῶναι τοῦτο εἶναι ἀλλότριον κτίσας ἐπ' αὐτῷ, τὰ μὲν δαπανήματα οὐκ ἀπαιτεῖ, συγχωρεῖται δὲ τοῦ ἐδάφους περιελεῖν τὸ οἰκοδόμημα δίχα ζημίας τοῦ δεσπότου τοῦ ἐδάφους [103]).

μ'. Ἐὰν ἀλλότριον ἀγρὸν ἀγνοῶν τις καλῇ πίστει ἀγοράσας σπείρῃ ἢ [104]) κτίσῃ ἐν [105]) αὐτῷ, χρὴ τὸν δικαστὴν μὴ ὡς ἔτυχεν ἀποφαίνεσθαι, ἀλλὰ τὰ πρόσωπα καὶ τὰς αἰτίας σκοπεῖν. τὰ μὲν πρόσωπα οὕτως· ἐὰν ὁ ἀληθὴς δεσπότης τοῦ ἀγροῦ εὔπορος ὢν τὰ αὐτὰ ἔμελλε ποιεῖν καὶ οἰκοδομεῖν, ἢ γεωργεῖν τὸν ἀγρόν, καταδικάζειν [106]) αὐτὸν δοῦναι τὴν γενομένην δαπάνην, καὶ

37. Nemini licet fistulas adjungere vel affigere communi parieti ad aquam per eas ducendam.

38. Omnis servitus et omnis ususfructus non utendo temporis lapsu, inter praesentes quidem decennio, inter absentes vero vicennio, exstinguitur.

39. Qui bona quidem fide aream emit, sed postquam alienam esse cognovit, in ea aedificat, impensas quidem non repetit, sed permittitur ei aedificium ab area tollere, sine damno domini areae.

40. Si quis alienum fundum ignorans bona fide emerit, et in eo plantaverit vel aedificaverit, judex non temere pronuntiare debet, sed personas et causas considerare. Personas hoc modo: si verus dominus, utpote locuples, eadem facturus et aedificaturus erat, aut agrum exculturus, condemnare eum debet ad refundendos sum-

101) P: βι. η' τί β' διγ. ιδ'. — Dig. VIII, 2, 19. — Harm. §. 104.

102) Cod. III, 34, 13. — Harm. §. 126.

103) Dig. VI, 1, 37. — Harm. §. 128.

104) Deest in C.

105) B: ἐπ'.

106) B: καταδικάζει.

οὕτω τὸν ἀγρὸν ἀναλαμβάνειν [107]), τουτέστιν εἰς [108]) εἴ τι βελτίων ἐγένετο ὁ ἀγρὸς, εἰς τὸ δαπάνημα αὐτὸν καταδικάζειν [109]). ταῦτα μὲν οὖν, εἰ εὔπορος ὢν ὁ κύριος τοῦ ἀγροῦ ἤμελλε ταῦτα ποιεῖν. εἰ δὲ τυχὸν πένης ὢν οὐκ ἐβούλετο ταῦτα ποιεῖν, ἀρκεῖ τῷ καλῇ πίστει νεμομένῳ τὸν ἀγρὸν, δίχα βλάβης τοῦ ἀγροῦ περιελεῖν πάντα ἃ ἐποίησεν, εἰ μὴ ὁ τοῦ ἀγροῦ δεσπότης ἑτοίμως ἔχῃ διδόναι τῷ νεμομένῳ, ὅσα μέλλει λαμβάνειν μετὰ τὸ καταλυθῆναι τὸ οἰκοδόμημα τὰς ὕλας πιπράσκων. τὰς δὲ αἰτίας οὕτω χρὴ σκοπεῖν· τυχὸν εἰ ὁ τοῦ ἀγροῦ δεσπότης πράσιμον αὐτὸν ἔχει ὡς μέλλειν [110]) πωλεῖν αὐτόν· τότε γὰρ οὐ συγχωρεῖται, κἂν ἄπορός ἐστι, μόνην τὴν τῶν ὑλῶν παρέχειν διατίμησιν, ἀλλ' εἰς ὅτι [111]) βελτίων γέγονεν ὁ ἀγρὸς καταδικάζεται [112]).

μα΄. Εἴ τις κακῇ [113]) πίστει πράγματα νεμόμενος ἢ κατὰ πρᾶσιν ἢ κατὰ δωρεὰν ἢ ἄλλως ταῦτα ἐκποιήσοι, ὁ δὲ νομίζων τὰ αὐτὰ πράγματα προσήκειν αὐτῷ

tus factos, ut sic fundum recipiat, id est in quantum fundus redditus est melior, ad impensas eum condemnare. Et haec quidem, si dominus fundi, quippe locuples, eadem erat facturus. Sed si forte pauperior sit, atque haec noluerit facere, sufficit ei, qui fundum bona fide possidet, sine detrimento fundi omnia, quae fecit, auferre, nisi dominus fundi paratus sit possessori reddere, quae post demolitionem aedificii accepturus erat, si materiam venderet. Causae autem sic sunt considerandae: si dominus forte fundi venalem illum habet, ut qui eum venditurus est: tunc enim non permittitur ei, licet pauperior sit, solam materiae aestimationem reddere, sed in quantum fundus redditus est melior condemnabitur.

41. Si quis mala fide res possidens eas per venditionem vel per donationem vel alio modo alienaverit, atque is, qui easdem res ad se pertinere credit, hoc

107) B: ἀναλαβεῖν.
108) Bodlej. 3399: ὡς.
109) Codd.: καταδικάζει.
110) B: μέλλων.
111) B: εἴ τι.
112) Dig. eod. dig. 38. — Harm. §. 129.
113) C: καλῇ. Item Codd. Epanagoges auctae quidam.

Digitized by Google

τοῦτο γινώσκων ἐντὸς ι' ἐνιαυτῶν μεταξὺ τῶν παρόντων καὶ κ' μεταξὺ τῶν ἀπόντων μὴ διαμαρτύρηται κατὰ τοὺς νόμους τὸν ἀγοραστὴν ἤτοι τὸν τὴν δωρεὰν δεχόμενον ἢ ἐκεῖνον, εἰς ὃν τὰ πράγματα ἄλλῳ οἱῳδήποτε τρόπῳ μετενεχθείη, τὸν τὰ τοιαῦτα πράγματα κομιζόμενον βεβαίως ταῦτα ἔχειν μετὰ τὴν τῆς δεκαετίας δηλονότι ἐπὶ τῶν παρόντων καὶ τῆς εἰκοσαετίας ἐπὶ τῶν ἀπόντων παραδρομήν. εἰ δὲ ἀγνοεῖ ὁ ἀληθὴς τῶν ἐκποιηθέντων πραγμάτων δεσπότης, καὶ ὅτι τὰ πράγματα αὐτῷ προσήκει καὶ ὅτι γέγονεν ἐκποίησις [114]), κελεύομεν μὴ ἄλλως τοῦτον ἀποκλείεσθαι, πλὴν εἰ μὴ διὰ τῆς παραγραφῆς τῆς τριακονταετίας, μὴ δυναμένου λέγειν τοῦ τὰ πράγματα τούτῳ τῷ τρόπῳ νεμομένου, ὅτι αὐτὸς καλῇ πίστει νέμεται, ὁπότε παρὰ τοῦ κακῇ πίστει νεμηθέντος ταῦτα ἐκομίσατο. περὶ δὲ τῆς παραγραφῆς τῆς δεκαετίας ταῦτα διατυπῶσαι συνείδομεν, ὥστε εἴποτέ τις ἐν τῇ εἰρημένῃ τῆς δεκαετίας χρονικῇ παραγραφῇ ἐπί τινας μὲν ἐνιαυτοὺς παρὼν εἴη, ἐπί τινας δὲ ἀπὼν, ἄλλους τοσούτους αὐτῷ [115]) ἐνιαυτοὺς πρὸς τῇ δεκαετίᾳ προστεθῆναι, ὅσους ἐξ αὐτῆς τῆς δεκαετίας ἀπὼν γέγονεν [116]).

comperiens intra decem annos inter praesentes ac viginti inter absentes non protestetur secundum leges contra emtorem aut donatarium aut illum, ad quem res alio quocunque modo translatae fuerunt: is, qui hujusmodi res accepit, firmiter eas habeat, post decennii scilicet inter praesentes aut vicennii inter absentes decursum. Sed si verus alienatarum rerum dominus ignoret, res illas ad se pertinere factamque esse alienationem, jubemus hunc haud aliter excludi, nisi per tricennii praescriptionem, quum, qui res hoc modo possidet, dicere non possit, sese bona fide possidere, quando eas a malae fidei possessore accepit. De praescriptione autem decennii haec statuere nobis visum est, ut si quis ex dicta temporali decennii praescriptione aliquot quidem annis praesens et aliquot absens fuerit, totidem

114) Bodlej. 3399: ἡ ἐκποίησις.

115) Deest in B.

116) Nov. 119 cap. 7. 8. — Harm. II, 1, 15.

μβ΄. Ὁ ἐνάγων τινὶ περὶ ἀκινήτου πράγματος μὴ ἀπὸ δικαίας αἰτίας νεμηθέντος [117]), καὶ μηδέπω ἀποκλεισθεὶς τῇ τριακονταετίᾳ μηδὲ ἀπολέσας τὴν ἰδίαν ἐναγωγὴν, εἰς τὸ ἴδιον δίκαιον ἀποκαθίσταται [118]).

μγ΄. Τὰ κινητὰ πράγματα τῇ τριετίᾳ [119]) ἀνεπιφωνήτως [120]) κρατούμενα δεσπόζονται [121]).

μδ΄. Ὁ ἔχων δουλείαν τοῦ ποτίζειν καὶ βόσκειν ἐν τῷ ἀγρῷ σου θρέμματα, δύναται κτᾶσθαι δουλείαν τοῦ ἐν αὐτῷ ποιεῖν καλύβην [122]).

με΄. Ὁ βουλόμενος πλησίον ἀλλοτρίου ἀλωνίου οἰκοδομεῖν, ἐν ᾧ καταβλάπτει τὸν τούτου δεσπότην, κωλύεται ἐξ αὐτοῦ [123]).

μς΄. Ὁ δι᾽ ἀλλοτρίου ἀγροῦ ἕλκων ὕδωρ εἰδότος τοῦ δεσπότου τοῦ ἀγροῦ, κτᾶται κατ᾽ αὐτοῦ τοῦ ἀγροῦ [124]) δουλείαν τῷ νενομισμένῳ χρόνῳ τουτέστι τῷ

alii ei ad decennium anni adjiciantur, quot ex eodem decennio abfuerit.

42. Qui quem convenit de re immobili, non ex justa causa possessa, et tricennio nondum exclusus est neque suam actionem amisit, in jus suum restituitur.

43. Mobiles res triennio sine interruptione detentae acquiruntur.

44. Qui servitutem aquandi et pecoris in tuo pascendi habet, tugurii ibidem faciendi servitutem acquirere potest.

45. Qui prope alienam aream aedificare vult, quatenus illius domino nocet, ab eo prohibetur.

46. Qui per alterius fundum aquam ducit, sciente fundi domino, adversus illum fundum legitimo tempore, id est triennio, servitutem acquirit. Sed si ante

117) C: νεμηθέντι.

118) P: βι. ιζ΄ (l. ζ΄ τοῦ κώδ.) τί. λβ΄ διατ. ς΄. — Cod. VII, 32, 6. — Harm. I, 3, 45 B.

119) R: τριακονταετίᾳ.

120) M: ἀνεπιφώνητα.

121) P: βι. ζ΄ τί. λα΄ διατ. α΄. — Cod. VII, 31.

122) P: βι. η΄ τί. γ΄ διγ. ς΄ ἐν τέλει. — Dig. VIII, 3, 6 §. 1. — Harm. II, 4, 105.

123) Cod. III, 34, 14 in fine. — Harm. §. 130.

124) Verba τοῦ ἀγροῦ B non habet.

τριετεῖ [125]). ἐὰν δὲ πρὸ τοῦ παρελθεῖν τοῦτον τὸν χρόνον κωλύσῃ αὐτὸν ὁ δεσπότης τοῦ ἀγροῦ ἐπανάγειν [126]) τὸ ὕδωρ, οὐ δύναται ἀπαιτεῖν αὐτὸν τὰ περὶ τὸν ὁλκὸν γενόμενα αὐτῷ δαπανήματα, ἀλλὰ καὶ αὐτοῦ τοῦ ὁλκοῦ δεσπότης γίνεται ὁ τοῦ ἐδάφους κύριος, ἕως ὅτε [127]) συνέστηκεν ὁ ὁλκός· διαλυομένου γὰρ αὐτοῦ, δύναται καὶ τὰς ὕλας ὁ πάλαι δεσπότης ἐκδικεῖν [128]).

μζ'. Ἐὰν ὁ προκτήτωρ οὐκ ἠδύνατο κωλύσαι τὴν τοῦ ὕδατος πάροδον, οὐδὲ ὁ νῦν ἀγοραστὴς δύναται κωλύειν· μετὰ γὰρ τοῦ αὐτοῦ βάρους ἀγοράσαι δοκεῖ [129]).

μη'. Οἱ χθαμαλώτεροι τόποι τῶν ἀγρῶν σιωπηρὰν δουλείαν τοῖς ὑψηλοτέροις παρέχουσιν [130]) εἰς τὸ δέχεσθαι τὰ ἴδια αὐτῶν ὕδατα, κέρδος ἔχοντες ἀντὶ τούτου τοῦ βάρους τὸ πᾶσαν τὴν λιπαρότητα τῶν ὑψηλοτέρων γηδίων ὑποδέχεσθαι [131]).

μθ'. Ἐὰν ἐπὶ ε' ἐνιαυτοὺς μὴ χρησάμενος τῇ τοῦ

elapsum hoc tempus dominus fundi eum aquam ducere prohibuerit, impensas in aquaeductum factas repetere ab eo non potest, sed et ipsius aquaeductus dominus fit qui soli dominus est, donec ita consistat aquaeductus: eo enim dissoluto, prior dominus materiam vindicat.

47. Si vetus possessor aquae transitum prohibere non potuit, neque novus emtor prohibere potest: emisse enim cum istoc onere videtur.

48. Inferiores agrorum loci tacitam superioribus servitutem praestant ad recipiendam illorum aquam: hoc lucri pro illo onere ferentes, quod omnem superiorum agrorum pinguedinem recipiant.

49. Si per quinquennium fundi mei servitute non

125) Vide quae ad hunc locum notavi in libro meo, cui inscribitur: Αἱ ῥοπαί, p. 198 not. 26.

126) R: ἄγειν.

127) Bodlej. 3399: ὅτου.

128) P: βι. γ' τοῦ κώδ. τί. λδ' διατ. α' (l. β'). — Cod. III, 34, 2. — Harm. §. 106.

129) Cod. III, 34, 3. — Harm. §. 107.

130) B: χρεωστοῦσιν. Bodlej. 3399: τόποις χρεωστοῦσιν.

131) Dig. XXXIX, 3, 1 §. 23. — Harm. §. 110.

ἀγροῦ μου δουλείᾳ πωλήσω αὐτὸν ἑτέρῳ, ψηφίζεται τὰ ε΄ ἔτη τῷ ἀγοραστῇ, ἵνα, ἐὰν ἐκεῖνος ἐπὶ ε΄ ἐνιαυτοὺς ἄλλους μὴ χρήσηται τῇ δουλείᾳ, ἐκπέσῃ αὐτῆς. εἰς μὲν γὰρ τὸ κτήσασθαι τὴν ἐλευθερίαν τῆς δουλείας τὸν αὐτὸν [132]) ἀπαιτοῦμεν [133]) εἶναι παρ' ὅλον τὸν νόμιμον [134]) καιρὸν, εἰς δὲ τὸ ἀπολέσαι διὰ τῆς ἀχρηστίας ἀρκούμεθα τὸ μηδὲ χρήσασθαι καὶ μόνον παρ' ὅλον τὸν τοῦ νόμου καιρόν· καὶ οὐ περιεργαζόμεθα εἴτε εἷς εἴτε πλείους εἰσὶν οἱ μὴ χρησάμενοι [135]).

ν΄. Ἐάν τις δημοσίαν ὁδὸν ἤτοι γῆν παρ' ἀλλοτρίου χωρίου ὀρύττῃ, τὸν ὅρον μὴ παραβαίνῃ [136]).

να΄. Ἐὰν τειχίον, πόδα ἕνα ἀπολείπῃ· ἐὰν δὲ οἴκημα, πόδας ϛ΄· ἐὰν δὲ τάφον [137]) ἢ βόθρον ὀρύττῃ, ὅσον τὸ βάθος εἴη, τοσοῦτον ἀπολείπῃ· ἐὰν δὲ φρέαρ [138]), ὀργυιὰν, εἰ μήπω φρέαρ προϋπάρχῃ τοῦ γείτονος καὶ διὰ τοῦ καινοῦ ἔργου βλάπτεται. ἐλαίαν δὲ καὶ συκῆν

usus alii eum vendidero, quinquennium istud emtori imputabitur, ita ut ille, si per alium quinquennium servitute hac usus non fuerit, ea excidat. Namque ad acquirendam servitutis libertatem eandem personam requirimus per totum legitimum tempus: sed in amittendo per non usum sufficit nobis hoc solum, non usum fuisse toto legitimo tempore: neque curiose anquirimus utrum unus an plures non fuerint usi.

50. Si quis publicam viam vel fontem prope alienum agrum fodiat, limitem ne excedat.

51. Si murum, unum pedem relinquat: si domum, pedes sex: si sepulcrum vel foveam fodiat, quantum profunditatis erit, tantum relinquat: si puteum, orgyiam, si necdum puteus vicino fuerit isque per novum opus

132) Verba τὸν αὐτόν C non habet.

133) L: ἀπαιτούμενος.

134) R: τοῦ νόμου.

135) Dig. VIII, 6, 18 §. 1. — Harm. §. 131, ubi vide Reitzii notam.

136) R: παραβαινέτω. L et Bodlej. 3399: παραβαίνειν.

137) C et L et M: τράφον. R: τάφρον.

138) In C recentior manus in marg. emendat: ἐὰν δὲ φρέαρ ὀρύττῃ, quocum P consentit.

πόδας θ' ἀπὸ ἀλλοτρίου [139]) φυτεύειν [140])· τὰ δὲ ἄλλα δένδρα πόδας ε' [141]).

νβ'. Ἐὰν πλησίον τοῦ ἀγροῦ σου ὑδραγώγιον [142]) ἔχω, παρέπεται [143]) σιωπηρῶς τῇ τοιαύτῃ δουλείᾳ ταῦτα· ἀνανεοῦν τὸ ῥεῖθρον, καὶ τὸ ἐξεῖναι εἰσιέναι [144]) ἐμέ τε καὶ τοὺς ἐμοὺς τεχνίτας ἐπὶ ἀνανεώσει τοῦ ὁλκοῦ. χρεωστεῖς δέ μοι καὶ διάστημά τι [145]) καταλιμπάνειν ὡς ἂν δι' αὐτοῦ ἐκ δεξιοῦ καὶ ἐξ ἀριστεροῦ πορεύεσθαί με ἐπὶ τὸ ῥεῖθρον, καὶ ἵνα ἐν αὐτῷ ἀποτίθημι γῆν καὶ λίθους, καὶ τὴν ὕλην τὴν ἐκ τοῦ ὁλκοῦ ἀναφερομένην καὶ ἄσβεστον καὶ ψάμμον πρὸς ἀνανέωσιν τοῦ ὑδραγωγίου [146]).

νγ'. Ἐὰν πιπράσκων ἀγροῦ μέρος συμφωνήσω δι' αὐτοῦ ἕλκειν ὕδωρ, καὶ μήπω ποιήσαντός μου τὸν ὀχετὸν ὁ νόμιμος παρέλθῃ χρόνος, σώζεταί μοι τὸ δίκαιον· εἰ δὲ ἐποίησα μέν, μὴ ἐχρησάμην δέ, φθείρεται [147]).

laedatur. Oleam vero et ficum pedibus novem ab alieno plantare: ceteras arbores pedibus quinque.

52. Si prope fundum tuum habeam aquaeductum, tacite illam servitutem haec jura sequuntur: ut rivum renovare liceat, et adire mihi nec non fabris meis ad renovandum aquaeductum. Debes etiam spatium mihi relinquere, ut per illud dextra sinistraque ad rivum accedere, et in eo terram ac lapides nec non materiam ex rivo haustam et calcem et arenam reponere possim ad reficiendum aquaeductum.

53. Si partem fundi vendens pactus fuero de aqua per illam partem ducenda, et legitimum elabatur tempus, antequam aquagium facerem, salva mihi est servitus: quod si fecerim, neque tamen usus fuerim, perit.

139) Bodlej. 3399: ἀπὸ τοῦ ἀλλ.
140) L: φεύγειν.
141) Dig. X, 1, 13. — Harm. §. 89.
142) C: ὑδραγωγεῖον.
143) Bodl. 3399: παρέχεται.
144) Idem: καὶ τὸ εἰσιέναι καὶ τὸ ἐξιέναι.
145) Sic Bodlej. 3399; C et L: διαστήματα. R: διάστημα sine τί.
146) Dig. VIII, 4, 11. — Harm. §. 112.
147) Dig. VIII, 6, 19 pr. — Harm. §. 113.

νδ'. Ἡ δουλεία τοῦ ὕδατος ἐὰν οὕτως συστῇ, ὥστε ἐν μόνῳ τῷ θέρει κεχρῆσθαι αὐτῇ ἢ ἐν ἑνὶ μηνὶ, ἢ ὑπὲρ ἐνιαυτὸν ἢ ὑπὲρ μῆνα, διπλασιάζεται ὁ χρόνος τῆς ἀχρηστίας· τὸ αὐτὸ καὶ ἐπὶ τῆς ὁδοῦ. εἰ δὲ ὑπὲρ ἡμέραν ἢ ὑπὲρ ὥραν, ἢ μίαν ὥραν [148]), ἢ μόνην τὴν ἡμέραν ἢ μόνην τὴν νύκτα, τῷ νομίμῳ χρόνῳ φθείρεται· μία γάρ ἐστιν ἡ δουλεία [149]).

νε'. Τῷ περὶ ὅρων καὶ ὁροθεσίων δικαστηρίῳ ἡ τοῦ μακροῦ χρόνου παραγραφὴ οὐκ ἀντίκειται, ἀλλὰ μόνον [150]) ἡ τῶν λ' ἐτῶν παραγραφὴ χώραν ἔχει [151]).

νϛ'. Ἐν ταῖς περὶ ὅρων ζητήσεσι δεῖ τὸν δικαστὴν ἀκολουθεῖν ἢ τοῖς ὑπομνήμασιν ἢ τῇ δημοσίᾳ ἀπογραφῇ τῇ πρὸ τῆς κατάρξεως συστάσῃ [152])· εἰ μὴ ἄρα τῇ ποικίλῃ [153]) τῶν κτητόρων διαδοχῇ καὶ τῇ κρίσει τῶν κατὰ καιρὸν νεμομένων ἀλλαγέντες οἱ ὅροι ἀποδειχθῶσιν· τότε γὰρ τούτοις τοῖς ὅροις [154]) προσεκτέον τοῖς

54. Servitus aquae si sic constituta sit, ut sola aestate vel uno mense, aut alternis annis vel mensibus ea quis utatur, tempus non utendi duplicatur: idemque in via obtinet. Sed si alternis diebus vel horis, aut una hora, aut solo die vel sola nocte, legitimo tempore amittitur: una enim est servitus.

55. Finium regundorum judicio longi temporis praescriptio non obstat, sed triginta annorum praescriptio dumtaxat locum habet.

56. In finalibus quaestionibus judicem sequi oportet vel monumenta vel publicum censum ante litem contestatam factum: nisi forte varia possessorum successione et arbitrio possessorum pro tempore fines mutati esse

148) Verba ἢ μίαν ὥραν in C desunt.

149) P: βι. η' τί. ϛ' διγ. ζ'. — Dig. eod. dig. 7. — Harm. §. 101.

150) M: μόνη.

151) Cod. III, 39, 6. — Harm. I, 3, 43.

152) C: τῆς προκατάρξεως συστάσει. Bodlej. 3399: τῇ πρὸ τῆς ὑπάρξεως συστάσει. Codices quidam Epanagoges auctae: τῆς πρώτης κατάρξεως συστάσῃ.

153) C: ποικιλίᾳ.

154) C, L et Epanagoges auctae Codices: τούτους τοὺς ὅρους.

ἀπὸ τῶν κτητόρων ὁρισθεῖσι [155]), καὶ οὐχὶ τοῖς παλαιοτέροις [156]).

νζ'. Ἡνίκα δημοσία ὁδὸς ἢ σεισμοῦ συμβεβηκότος [157]) ἢ ἐπικλύσαντος αὐτὴν ποταμοῦ ἀπόληται [158]), ὁ πλησιάζων δεσπότης ἀναγκάζεται παρέχειν τὴν δημοσίαν ὁδὸν διὰ τῶν ἰδίων τόπων [159]).

νη'. Ἐὰν ποταμὸς μέσον δύο ἀγρῶν ῥῇ, τουτέστι τοῦ σοῦ καὶ τοῦ ἐμοῦ, εἶτα κατὰ βραχὺ καὶ ἀνεπαισθήτως προσθήσῃ γῆν τῇ ἐμῇ γῇ, ὡς μὴ δύνασθαί τινα νοῆσαι, πόσον καὶ ἐν ποίῳ χρόνῳ τῆς ἡμετέρας ἐστὶ δεσποτείας τὸ προσγινόμενον [160]), τοῦτο ἐμὸν γίνεται. εἰ δὲ ἡ τοῦ ποταμοῦ βία καὶ ὁρμὴ μέρος τι τοῦ σοῦ ἀγροῦ ἀφείλετο καὶ τῷ ἐμῷ προσήγαγεν ἀγρῷ, δῆλόν ἐστιν, ὅτι τὸ προστεθὲν τῆς σῆς μένει δεσποτείας· οὐ [161]) γὰρ ἀνεπαισθήτως τοῦτο γέγονεν [162]).

νθ'. Ἐὰν ὕδωρ ἕλκοντός μου δι' ὑδραγωγίου, φέ-

probentur; tunc enim his finibus a possessoribus determinatis, non vetustioribus inhaerendum est.

57. Si via publica vel terrae motu vel fluminis inundatione perierit, vicinus dominus cogitur publicam viam per sua praestare loca.

58. Si amnis inter duos agros fluat, veluti inter tuum ac meum, et deinde paulatim ac latenter terram meae terrae adjecerit, ita ut nemo intelligere possit, quantum et quo tempore illud, quod accessit, nostri dominii sit factum, mihi acquiritur. Sed si vis et impetus fluminis partem tuo detraxit agro meoque agro appulit, manifestum est, id, quod appulsum sit, in tuo manere dominio: non enim hoc paulatim factum est.

59. Si me aquam ducente per canalem, illa qui-

155) Bodl. 3399: ὀρεχθεῖσι.

156) Dig. X, 1, 11. — Harm. l. c. §. 44.

157) R: καταβεβληκότος.

158) C: ἀπολεῖται. R: ἀπόλλυται.

159) Dig. VIII, 6, 14. — Harm. II, 4, 132.

160) B: προστιθέμενον. — Bodlej. 3399: προστεθειμένον.

161) B: οὐδέ.

162) Theophil. Inst. II, 1, 20. — Harm. §. 114. — P hic addit §: Ὁ ἀρξάμενος δίκην κ. τ. λ.

ρεται μὲν ἕως τόπου τινὸς, μὴ δείκνυται δὲ δι' ὅλου τοῦ ὁλκοῦ τὸ ὕδωρ, φθαρέντος τυχὸν τοῦ ὑδραγωγίου, ἐν τῷ μέσῳ ἀβλαβὴς ἡ κατὰ παντὸς τοῦ ὁλκοῦ δουλεία φυλάττεται [163]).

ξ'. Πᾶσα ἀγωγὴ προσήκουσα σεπτῷ οἴκῳ, εἴτε προσωπικὴ εἴτε ὑποθηκαρία ἐστὶν, οὐχ ὑπερβαίνει τὰ μ' ἔτη, τῶν ἁρμοζουσῶν ἑκάστῳ τοιούτῳ εὐαγεῖ οἴκῳ προσκαίρων παραγραφῶν φυλαττουσῶν μέντοιγε τοὺς οἰκείους χρόνους [164]).

ξα'. Ἐὰν βλαβῇ σῶμα ἐλεύθερον, ἡ καταδίκη γίνεται εἰς τὴν δαπάνην τῆς ἰατρείας καὶ τὴν ἀπώλειαν τῆς ἐργασίας, οὐ μὴν τῆς ἀμορφίας. σῶμα γὰρ ἐλεύθερον οὐ διατιμᾶται. ὁ δὲ σῶμα δοῦλον βλάψας ἀπαιτεῖται πρὸς τοῖς εἰρημένοις καὶ εἰς εἴ τι ἠλαττώθη ἡ διατίμησις αὐτοῦ [165]).

ξβ'. Οὐκ ἀπρεπὲς δὲ καὶ τοῦτο ἔδοξεν ἡμῖν διορί-

dem ad certum deferatur locum, sed per totum aquaeductum haud appareat, canali forte corrupto, totius interea aquaeductus servitus salva manet.

60. Omnis actio venerandae domui competens, sive personalis sit sive hypothecaria, quadraginta annos non excedit: ita tamen, ut temporales exceptiones cuique tali venerandae domui competentes propria servent tempora.

61. Si corpori libero nocitum sit, condemnatio fit in sumtus sanationis et amissionem operarum, non autem deformitatis: corpus enim liberum non aestimatur. Qui vero corpus servum laesit, praeter dicta etiam praestat, si quid aestimatio illius minuta sit.

62. Non indecorum et hoc nobis visum est sta-

163) Dig. VIII, 3, 35. — Harm. §. 115.

164) Nov. 111 cap. 1. Nov. 131 cap. 6. — Harm. I, 3, 45 A.

165) P: βι. ι' (l. θ') τί. α' διγ. γ'. — Dig. IX, 1, 3. — Harm. VI, 1, 5. — Caeterum L verba: ὁ δὲ σῶμα δοῦλον κ. τ. λ. omittit.

σασθαι, ἵνα οἱ ἐπὶ ἐγκλήματι [166]) *περιοριζόμενοι κἂν* [167]) *ἐν τῷ ἰδίῳ οἴκῳ μὴ περιγράφωνται* [168]) *χρόνῳ* [169]).

ξγ'. Ἀλλὰ μηδὲ τοῖς διὰ δουλείαν βασιλικὴν ἀπολιμπανομένοις συμψηφιζέσθω [170]) *χρόνος, ἐφ' ὅσον διάγουσιν ἐν τῷ τόπῳ τῆς λειτουργίας, μέχρις ὅτου ὑποστρέψωσιν* [171]).

ξδ'. Ὁ κωφὸς, ὁ ἄλαλος, ὁ μαινόμενος, ὁ ἄφρων καὶ ὁ αἰχμάλωτος οὐ περιγράφονται χρόνῳ. τότε δὲ ὁ χρόνος αὐτοῖς ἄρχεται τρέχειν, ὅτε ὁ μὲν ἐπανέλθῃ, οἱ δὲ τοῦ πάθους ἀπαλλαγῶσιν [172]).

tuere, ne ii, qui ob crimen vel domi suae inclusi sunt, tempore circumscribantur.

63. At neque iis, qui ob ministerium principis absunt, tempus computetur, quamdiu in loco ministerii versantur, donec inde redierint.

64. Surdus, mutus, furiosus, demens, et captivus tempore non circumscribuntur. Tunc autem tempus iis currere incipit, quum hic reversus, illi vitio liberati fuerint.

166) R: *ἐγκλήμασι.*
167) C: *καί.*
168) M: *παραγράφ.*
169) Tria ultima hujus tituli capita Basilio vindicanda esse videntur. — Harm. I, 3, 66, ubi vide **Reitzii** aliorumque notas.
170) R et L: *ψηφίζ.*
171) Harm. eod. §. 67.
172) Harm. eod. §. 68.

ΤΙΤΛΟΣ ΤΡΙΑΚΟΣΤΟΣ ἘΝΝΑΤΟΣ

Περὶ ποινῶν *).

α'. Ὁ ἐρεθίζων τοὺς πολεμίους ἢ παραδιδοὺς πολεμίοις ῥωμαίους κεφαλικῶς κολάζεται [1]).

β'. Τῷ περὶ ἀνδροφόνων νόμῳ κατέχεται ὁ ποιήσας φάρμακον ἐπὶ ἀναιρέσει ἀνθρώπου ἢ ἐσχηκὼς ἢ πωλήσας [2]).

γ'. Τοὺς ἐκ τῶν ῥωμαϊκῶν πρὸς τοὺς πολεμίους ἀποφεύγοντας ὡς πολεμίους ἔξεστιν ἀκινδύνως φονεύειν [3]).

δ'. Ἐὰν τὸν ἐν νυκτὶ κλέπτοντα φονεύσῃ τὶς,

TITULUS TRICESIMUS NONUS.

De poenis.

1. Qui hostes proritat, aut hostibus romanos prodit, capitaliter punitur.

2. Lege de sicariis tenetur, qui ad hominem necandum venenum paraverit vel habuerit vel vendiderit.

3. Qui ex romanis ad hostes transfugiunt, eos ut hostes cuique sine periculo occidere licet.

4. Si quis nocturnum furem occiderit, tunc im-

*) Post Reitzium Witte (Rhein. Mus. für Jurisprud. II p. 284) notavit, multa huic titulo inesse, quae paucis verbis mutatis ex Ecloga Leonis et Constantini desumta esse videantur. Verum in titulo de poenis Eclogae Codices tantopere a se invicem et a Leunclavii editione differunt, ut quid Leoni et Constantino Isauris, quid librariis Eclogam aliunde interpolantibus tribuendum sit, hactenus eruere non potuerim. Itaque interim in universum notasse sufficiat, esse quaedam in hoc titulo capita, quae Prochiri compilatores ex Ecloga sumsisse videantur, quum Eclogae auctoritatem non omnino repudiassent. (cf. Prooemium not. 24. supra p. 10.)

1) Harm. VI, 8, 5. — Ibi Reitzius notat: »*Non invenio. Aliud enim tractatur in l.* 9 *C. de re milit. XII,* 36 *et l.* 7 *D. eod. XLIX,* 16, *quas alii citant.*«

2) Dig. XLVIII, 8, 3 pr. — Harm. VI, 10, 1.

3) Dig. eod. dig. 3 §. 6. — Harm. VI, 8, 1.

τότε ἀτιμώρητος μένει, ὅτε μὴ ἠδύνατο δίχα κινδύνου ἰδίου φείσασθαι αὐτοῦ [4]).

ε΄. Ἐάν τις εἰδὼς ἐλεύθερόν τινα [5]) ἀγοράσῃ ἢ πωλήσῃ αὐτὸν ἢ δωρήσηται ἢ εἰς προῖκα δώῃ ἢ καταλλάξῃ, μιᾶς τούτων τῶν αἰτιῶν ἀποδεικνυμένης ὁ τοιοῦτος χειροκοπείσθω [6]).

ς΄. Οἱ λεγόμενοι νεωτερικοὶ καὶ [7]) θορύβους ἐν τῷ δήμῳ ποιοῦντες, εἰ μὲν ὑπομνησθέντες παρὰ τοῦ ἄρχοντος τοῖς [8]) αὐτοῖς ἐπιμείνοιεν, ἐξορίζονται. εἰ δὲ πολλοὺς θορύβους καὶ ἀταξίας ἐποίησαν καὶ πολλάκις κρατηθέντες καὶ πρότερον [9]) κολασθέντες ἐπὶ τῆς αὐτῆς ἐπέμειναν προπετείας, τυπτόμενοι καὶ κουρευόμενοι διηνεκῶς ἐξοριζέσθωσαν [10]). εἰ δὲ οὐχ ὑπεμνήσθησαν παρὰ τοῦ ἄρχοντος, ῥοπαλίζονται μόνον καὶ ἀπολύονται [11]).

ζ΄. Ὁ τὸν προσφεύγοντα εἰς τὴν ἁγιωτάτην ἐκκλη-

pune feret, si ei sine periculo suo parcere non potuit.

5. Si quis, sciens liberum esse, hominem emerit aut vendiderit, eumve donaverit, in dotem dederit aut permutaverit, una harum causarum probata, manu truncator.

6. Qui juvenes vocantur, turbasque in populo faciunt, si quidem a praeside admoniti in iisdem perseverent, relegantur. Sed si multas turbas et petulantias commiserunt, et saepius apprehensi atque antea puniti in eadem temeritate permanserunt, verberati ac tonsi perpetuo exulabunt. Quodsi a praeside admoniti non fuerunt, fustibus tantum caeduntur ac dimittuntur.

7. Qui confugientem ad sacram ecclesiam propria

4) Dig. eod. dig. 9. — Harm. VI, 5, 4.

5) Deest in C.

6) Dig. XLVIII, 15, 4. — Harm. VI, 13, 4. — B. a Rey notat: »*Jure Digestorum poena metalli in talem statuitur; jure Codicis servi et liberti bestiis subjiciuntur: liberis capitale est.*«

7) M: *οἱ*.

8) Deest in C.

9) Contius conjecit: *πρᾳότερον*.

10) Dig.: »*capite plectendi sunt.*«

11) Dig. XLVIII, 19, 28 §. 3. — Harm. VI, 7, 10.

σίαν ἰδίᾳ χρώμενος αὐθεντίᾳ ἀποσπάσας δερόμενος [12]) καὶ κουρευόμενος διηνεκῶς ἐξοριζέσθω [13]).

η'. Ὁ ἐντειλάμενός τινι φονεῦσαι ὡς φονεὺς κρίνεται [14]).

θ'. Μηδεὶς πιπρασκέτω βαρβάροις ὅπλα εἰργασμένα ἢ ἀνέργαστα ἢ σίδηρον, ἐπεὶ κεφαλικῶς τιμωρεῖται [15]).

ι'. Ὁ κατὰ τῆς σωτηρίας τοῦ βασιλέως μελετήσας, φονεύεται καὶ δημεύεται [16]).

ια'. Τὸν λῃστὴν ἔξεστιν ἑκάστῳ ἀκινδύνως φονεύειν [17]).

ιβ'. Ὁ τὸν νήπιον φονεύσας τιμωρίᾳ φόνου ὑπόκειται, καὶ ὁ ἔλαττον τῶν κε' ἐτῶν φονεύσας ἐνάγεται ὡς φονεύς [18]).

ιγ'. Ὁ συνειδώς τινι γοητείαν [19]) κατασχὼν αὐτὸν τῇ δημοσίᾳ ὄψει παραδιδότω. εἰ δέ τις οἱοσδήποτε ἀν-

auctoritate abstrahit, verberatus ac tonsus relegator.

8. Qui cui caedem mandat, pro homicida judicatur.

9. Nemo barbaris arma facta vel infecta aut ferrum vendat, quandoquidem capite punitur.

10. Qui contra principis salutem quid meditatur, confiscatus morte punitur.

11. Latronem unicuique sine periculo interimere licet.

12. Qui infantem interimit, poenam caedis subit; et minor xxv annis, qui aliquem interfecit, ut homicida accusatur.

13. Qui conscius alicui de maleficio apprehenderit eum, publico conspectui tradat. Si quis autem qua-

12) B: δαιρόμενος. Sed δέρω et δαίρω promiscue scribitur.

13) Harm. II, 9, 3. — Vide Biener Beiträge zur Revision des justin. Codex. Berlin 1833. S. 176.

14) Dig. XLVIII, 8, 15 §. 1. — Harm. VI, 6, 18.

15) Cod. IV, 41, 2.

16) Cod. IX, 8, 5, cujus hoc est brevissimum argumentum. — Harm. VI, 14, 2.

17) P: βι. θ' τί. ιϛ' διατ. γ'. — Cod. IX, 16, 3. — Harm. VI, 6, 24.

18) Cod. eod. const. 8 et 6. — Harm. eod. §. 13. 14.

19) B addit: καί.

θρωπος συλλαβόμενος τοῦτον μὴ παραδίδωσιν, ἐσχάτην ὑπομενέτω τιμωρίαν [20].

ιδ'. Ὁ πλαστὴν μονίταν ποιῶν μετὰ τῶν ὑπουργησάντων αὐτῷ χειροκοπείσθωσαν. ὁ δὲ τοῦ ἀγροῦ διοικητὴς [21], ἐν ᾧ γέγονεν ἡ πλαστὴ μονίτα, εἴτε γεωργὸς εἴτε δοῦλος εἴτε ἔνοικος εἴτε ἐργαστηριακὸς, ὑπηρετήσας τῷ ἁμαρτήματι, καὶ ὁ τοιοῦτος χειροκοπείσθω [22].

ιε'. Ὁ συκοφάντης τῇ ταυτοπαθείᾳ ὑπόκειται [23].

ιϛ'. Οἱ ἐπίσημοι λησταὶ ἐν τοῖς τόποις, ἐν οἷς ἐπλημμέλησαν, φουρκίζονται. καὶ χρὴ [24], ἵνα διὰ τῆς θέας καταπτοηθῶσιν οἱ ἐγχειροῦντες τοῖς τοιούτοις, καὶ ἵνα γένηται παραμυθία τοῖς συγγενέσι τῶν ἀναιρεθέντων [25].

ιζ'. Οἱ πρὸς τοὺς πολεμίους αὐτομολοῦντες καὶ

liscunque homo illum comprehensum non tradiderit, ultimum subeat supplicium.

14. Falsam monetam faciens cum administris manu truncator. Fundi autem administrator, in quo falsa moneta facta est, sive colonus sive servus sive inquilinus sive operarius, huic delicto ministerium praebens et ipse manum amittat.

15. Calumniator talioni subjacet.

16. Famosi latrones in locis, ubi deliquerunt, in furcam aguntur: idque utile est, ut et conspectu deterreantur, qui eadem moliuntur, et ut cognatis interemtorum solatio sit.

17. Qui ad hostes transfugiunt et nostra consilia

20) P: τί. ιη' διατ. θ'. — Cod. IX, 18, 9. — Harm. VI, 10, 4.

21) R: ἀγροῦ δεσπότης ἢ μᾶλλον ὁ διοικητής

22) Hoc caput Prochiro esse proprium testatur Scholiastes ad Basilica LX, 60, 1. Vide edit. Fabrot. VII p. 921 schol. a. — B. a Rey notat: »*Jure Codicis adulterator monetae Caesaris tenetur majestatis crimine, et igne necatur, et qui ministerium praebuerunt, capite plectuntur.*« — Harm. VI, 14, 3.

23) Cod. IX, 46, 10. — Harm. VI, 9, 3.

24) Verba καὶ χρὴ R non habet.

25) R: ἀνηρημένων. — Dig. XLVIII, 19, 28 §. 15. — Harm. VI, 6, 25.

τὰς ἡμετέρας βουλὰς ἐπαγγέλλοντες εἰς φοῦρκαν ἀναρτῶνται ἢ καίονται [26].

ιη'. Ἐάν τις εἰδὼς οἰκήματα ἐμπρήσῃ ἢ σωρὸν σίτου πλησίον οἰκήματος κείμενον [27], ἐλεγχόμενος πυρὶ παραδίδοται. εἰ δὲ ἔξω πόλεως τὸ τοιοῦτον διαπράξηται, χειροκοπείσθω [28].

ιθ'. Οἱ πολέμιοι καὶ οἱ πρὸς αὐτοὺς αὐτομολοῦντες ξίφει τιμωρείσθωσαν [29].

κ'. Τὸ διὰ θυσιῶν μαντεύεσθαι κεκώλυται· ὁ δὲ τοιοῦτος ξίφει τιμωρείσθω [30].

κα'. Οἱ εἰς βλάβην ἀνθρώπων δαίμονας ἐπικαλούμενοι, εἰ μὴ κατὰ ἄγνοιαν τοῦτο πράξωσι [31], ξίφει τιμωρείσθωσαν [32].

κβ'. Οἱ δοῦλοι ἢ ἀπελεύθεροι ἀνδραποδίζοντες ἐλευθέρους δερόμενοι καὶ κουρευόμενοι χειροκοπείσθωσαν [33].

deferunt, in furcam tolluntur aut cremantur.

18. Si quis aedificia sciens incenderit aut acervum frumenti juxta aedificium jacens, convictus igni traditur. Sin extra urbem hoc patraverit, manu truncator.

19. Hostes, quique ad eos transfugiunt, gladio feriuntor.

20. Per sacrificia divinare vetitum est: hoc vero qui fecerit, gladio feritor.

21. Qui in noxiam hominum daemonas invocant, nisi per ignorantiam hoc fecerint, gladio plectuntor.

22. Servi aut liberti, qui liberos pro servis vendunt, caesi ac tonsi manu truncantor.

26) Dig. eod. dig. 38 §. 1. — Harm. VI, 10, 6. Harm. VI, 8, 2.

27) C: κειμένην.

28) Dig. XLVIII, 19, 28 §. 12. — Harm. VI, 12, 4.

29) Dig. XLIX, 16, 7. — Harm. VI, 8, 3.

30) P: βι. θ' τί. ιη' διατ. γ'. — Cod. IX, 18, 3; ubi tamen concremationis poena statuitur.

31) L: πράξουσι.

32) P: διατ ς'. — Cod. eod. const. 6. »*hos — feralis pestis absumat.*« — Harm. eod. §. 8.

33) Cod. IX, 20, 15. — Harm. VI, 8, 7. — B. a Rey notat: »*Servus vel libertus bestiis subjicitur, ingenuus gladio consumitur.*«

κγ'. Ἀπαγορεύει ἡ διάταξις ἀμφοτέρας τὰς χεῖρας καὶ τοὺς πόδας τέμνεσθαι [34]).

κδ'. Ὁ τὸν φυγάδα δοῦλον ὑποδεξάμενος δίδωσιν αὐτὸν μετὰ ἑτέρου ὁμοίου ἤτοι κ' νομισμάτων [35]). ὁσάκις δὲ αὐτὸν ὑποδέξηται, τοσαυτάκις [36]) αὔξεται ἡ ποινή [37]).

κε'. Κατὰ τοῦ ἁρπάσαντος [38]) πρᾶγμα ἀπὸ ἐμπρησμοῦ ἢ καταπτώσεως ἢ ναυαγίου, ἢ κατὰ τοῦ ὑποδεχομένου κατὰ δόλον τὰ τοιαῦτα πράγματα, ἐντὸς ἐνιαυτοῦ εἰς τὸ τετραπλάσιον δίδοται ἡ ἀγωγή, μετὰ δὲ τὸν ἐνιαυτὸν εἰς τὸ διπλάσιον [39]).

κϛ'. Πενταετίᾳ σβέννυται τὸ ἔγκλημα τῆς μοιχείας. ἀλλὰ τοῦτο λέγομεν περὶ τῶν εἰς [40]) ἑκοῦσαν ἡμαρτηκότων [41]).

κζ'. Οἱ διδάσκοντες τὰ ἀσεβῆ δόγματα, ἐσχάτῃ ὑπόκεινται τιμωρίᾳ [42]).

23. Vetat constitutio, ambas manus ac pedes amputari.

24. Qui fugitivum servum recipit, restituit ipsum cum alio pari aut viginti solidis; quoties autem eum receperit, toties mulcta augetur.

25. In eum, qui rem ex incendio vel ruina vel naufragio rapuerit, aut in eum, qui dolo tales res recipit, intra annum in quadruplum actio datur: post annum in duplum.

26. Quinquennio adulterii accusatio extinguitur. Sed hoc dicimus de his, qui in volentem mulierem deliquerunt.

27. Qui profana praecepta docent, ultimo supplicio obnoxii fiunt.

34) Nov. 134 c. 13. — Harm. VI, 10, 9.

35) C: νομίσματα.

36) B: τοσάκις.

37) Cod. VI, 1, 4. — Harm. VI, 13, 2.

38) L: ἁρπάζοντος.

39) B et M: διπλοῦν. Consentit Bodlej. 3399 et Codices Epanagoges auctae. — Dig. XLVII, 9, 1 pr. et Cod. VI, 2, 18, ubi tamen post annum in simplum actio datur.

40) Deest in C.

41) Dig. XLVIII, 5, 29. — Harm. VI, 2, 9. — Videsis schol. d in Basil. ed. Fabrot. VII p. 659.

42) Cod. I, 5, 2.

κη'. Οἱ μανιχαῖοι χριστιανοὶ γενόμενοι μετὰ [43]) ταῦτα τὰ τῶν μανιχαίων διαπραττόμενοι, ἢ τοῖς τοιούτοις ἐντυγχάνοντες καὶ μὴ παραδιδόντες τοῖς ἄρχουσιν, ἐσχάτῃ τιμωρίᾳ ὑπόκεινται. καὶ οἱ ἐν ἀξίαις ἢ στρατείαις [44]) ἢ συστήμασιν ὄντες ὀφείλουσι φροντίζειν, μήτις αὐτῶν ἐστι τοιοῦτος [45])· ἐπείτοιγε εἰ ἴσασιν αὐτὸν καὶ μὴ παραδιδοῦσι, κἂν ὀρθόδοξοι ὦσιν, ἐσχάτῃ τιμωρίᾳ ὑποβάλλονται [46]).

κθ'. Οἱ μανιχαῖοι καὶ μετὰ θάνατον ἐλέγχονται· καὶ ὅτι οὐδεὶς αὐτοὺς κληρονομεῖ ἐκ διαθήκης ἢ ἐξ ἀδιαθέτου, κἂν συγγενεῖς εἰσιν [47]) ὀρθόδοξοι, πλὴν παίδων, ἀλλ' εἰσκομίζονται τὰ πράγματα αὐτῶν. μόνοι γὰρ παῖδες αὐτῶν ὀρθόδοξοι ὄντες κληρονομοῦσιν αὐτούς. ταῦτα δὲ καὶ περὶ τῶν δονατιστῶν [48]).

λ'. Ὁ ποιῶν ἑλληνικὰς θυσίας καὶ [49]) τιμῶν εἴδωλα, ἢ θυσιάζων [50]) ἢ λίβανον αὐτοῖς καίων, ἐσχάτῃ

28. Si Manichaei Christiani facti postea, quae Manichaeorum sunt, patraverint, aut in hos incidentes ad magistratus non detulerint, extremo subjacent supplicio. Et qui in dignitatibus aut militiis aut collegiis sunt, curare debent, ne quis eorum talis sit: etenim si eum sciverint talem esse nec tradiderint, licet orthodoxi sint, ultimo supplicio subjiciuntur.

29. Manichaei etiam post mortem arguuntur; et nemo iis succedit ex testamento aut ab intestato, etiamsi cognati sint orthodoxi, praeter liberos, sed bona eorum fisco inferuntur. Soli enim liberi eorum, si orthodoxi sint, succedunt. Haec etiam circa Donatistas obtineant.

30. Qui paganica facit sacrificia, et qui imagines colit, iisve sacrificat vel thus accendit, ultimo subjicitur

43) B: καὶ μετά.
44) L: στρατηγίαις.
45) Verba ὀφείλουσι — τοιοῦτος in C desunt.
46) R: ὑπόκεινται. — Cod. I, 5, 16. — Harm. VI, 11, 7.
47) B: ὦσιν.
48) R: δογματιστῶν. M: δανειστῶν. — Cod. I, 5, 15. — Harm. VI, 11, 8: ubi Reitzius: »*Epitome l. 4 C. de haereticis, quam integram habet Fabrot* [*Basil.*] *I p.* 16.«
49) B: ἤ.
50) L: θυμιάζων. R: θυμιῶν.

Digitized by Google

ὑποβάλλεται τιμωρίᾳ. ὁμοίως δὲ τιμωροῦνται καὶ οἱ συνίστορες αὐτῶν καὶ οἱ [51]) ὑπηρέται τῶν θυσιῶν [52]).

λα'. Ἐὰν ἰουδαῖος χριστιανὸν ἀνδράποδον κτήσηται καὶ περιτέμῃ, κεφαλικῶς τιμωρεῖται [53]).

λβ'. Ἐὰν ἰουδαῖος τολμήσῃ διαστρέψαι χριστιανικὸν [54]) λογισμὸν, ὑπόκειται κεφαλικῇ τιμωρίᾳ [55]).

λγ'. Οἱ ἀξιωθέντες τοῦ ἁγίου βαπτίσματος καὶ πάλιν ἑλληνίζοντες ἐσχάτῃ τιμωρίᾳ ὑπόκεινται [56]).

λδ'. Οἱ ἀποστάντες ἐκ τῆς ὀρθοδόξου [57]) πίστεως καὶ αἱρετικοὶ γενόμενοι ἢ θύσαντες ἢ θῦσαί τινι ἐπαγγειλάμενοι [58]) οὐ δύνανται διατίθεσθαι [59]) ἢ δωρεῖσθαι, οὔτε ἐκ διαθήκης οὔτε ἐξ ἀδιαθέτου λαμβάνειν τὶ δύνανται [60]).

supplicio. Ac similiter puniuntur et qui illi sunt conscii, et qui sacrificiorum sunt ministri.

31. Si Judaeus mancipium christianum possederit et circumciderit, capitaliter punitur.

32. Si Judaeus christianam mentem pervertere ausit, capitali poenae subjacet.

33. Qui sacro baptismate dignati sunt atque iterum ad paganismum revertuntur, ultimo supplicio obnoxii sunt.

34. Qui ab orthodoxa fide desciscunt et haeretici fiunt, si aut sacrificaverint, aut sacrificare alicui mandaverint, testari vel donare non possunt, neque ex testamento aut ab intestato aliquid capere possunt.

51) Deest in B.

52) Cod. I, 11, 7. — Harm. VI, 11, 6.

53) Cod. I, 10, 1. — Harm. VI, 11, 2.

54) B: χριστιανοῦ.

55) Cod. I, 9, 18 in fine. — Harm. VI, 11, 3.

56) Cod. I, 7, 3. — Harm. VI, 11, 4.

57) B: τῶν ὀρθοδόξων.

58) **Reitzius** notat: »*Verterunt ex textu Codicis* mandarunt, *sed graecum verbum notat:* promittere, polliceri: *quum vero hoc ad crimen non sufficiat, (nam expresse additur:* ἐκεῖνος δὲ ἔστω μόνος ὑπὸ τὴν μέμψιν, ὅς ἔθυσεν ἢ θῦσαί τινι ἐνετείλατο,) *itidem sic verto, sed legendum arbitror:* ἐντειλάμενοι.«

59) C: διαθέσθαι.

60) Cod. I, 7, 4. — Harm. VI, 11, 5.

λε΄. Ὁ ἀνελὼν ἀνιόντα ἢ κατιόντα ἢ συγγενῆ πυρὶ παραδιδόσθω [61]).

λϛ΄. Δοῦλος συνειδὼς καὶ συμπράττων τῇ ἁρπαγῇ τῆς ἰδίας δεσποίνης καίεται [62]).

λζ΄. Πυρὶ παραδίδονται οἱ δοῦλοι, οἵτινες τῇ σωτηρίᾳ [63]) τῶν οἰκείων δεσποτῶν ἐπεβούλευσαν. κἀκεῖνοι τιμωρείσθωσαν τῶν οἰκετῶν ἀναιρεθέντος τοῦ δεσπότου, ὅσοι τῆς φωνῆς αὐτοῦ ἢ τῆς κατ᾽ αὐτοῦ ἐπιβουλῆς αἰσθόμενοι μὴ συνέδραμον, εἴτε ἐν οἴκῳ εἴτε [64]) ἐν ὁδῷ ἢ [65]) ἀγρῷ τοῦτο συνέβη [66]).

λη΄. Ὁ διδάσκων τοὺς βαρβάρους ναῦς κατασκευάζειν, κεφαλικῇ τιμωρίᾳ ὑπόκειται [67]).

λθ. Ὁ τὸν ἐπελθόντα φονεύσας, ἐν ᾧ περὶ τῆς ζωῆς ἐκινδύνευεν, ἀνεύθυνος ἔσται [68]).

μ΄. Οἱ ἁρπάσαντες γυναῖκα ἢ μεμνηστευμένην ἢ ἀμνήστευτον ἢ χήραν, εἴτε εὐγενής ἐστιν εἴτε [69]) δούλη

35. Qui ascendentem vel descendentem aut cognatum perimit, igni traditor.

36. Servus conscius et administer in raptu suae dominae crematur.

37. Igni traduntur servi, qui propriorum dominorum saluti insidiati sunt. Et illi servorum puniantur necato domino, qui ejus voce aut insidiis contra illum cognitis non succurrerunt, sive in domo, sive in via vel agro hoc acciderit.

38. Qui barbaros docet conficere naves, capitali poenae subjacet.

39. Qui aggressorem occidit, ubi de vita periclitabatur, insons est.

40. Qui mulierem rapiunt aut desponsatam aut

61) Dig. XLVIII, 9, 1 pr. Sed abolita est vetus poena, et pro ea inducta est crematio. — Harm. VI, 6, 16.

62) Cod. IX, 13, 1 §. 3. — Harm. VI, 7, 4 et 12, 1.

63) C: τὴν σωτηρίαν. Cf. not. 81.

64) B: ἢ.

65) B: ἢ ἐν.

66) Dig. XLVIII, 19, 28 §. 11 et Cod. VI, 35, 12. — Harm. VI, 12, 2.

67) Cod. IX, 47, 25. — Harm. VI, 8, 6.

68) B: ἐστιν. — P: βι. θ΄ τί. ιη΄ (l. ιϛ΄) διατ β΄. — Cod. IX, 16, 2. — Harm. VI, 6, 17.

69) C: ἢ.

ἡ ἀπελευθέρα, καὶ μάλιστα εἰ τῷ θεῷ εἰσὶ γυναῖκες καθιερώμεναι, κἂν [70]) *τὴν ἰδίαν τὶς μνηστὴν ἥρπασεν, εἰ μὲν μεθ' ὅπλων ἤτοι ξιφῶν ἢ ῥοπάλων τὴν ἁρπαγὴν ἐποιήσαντο, οἱ τοιοῦτοι ξίφει τιμωρείσθωσαν. οἱ δὲ συνυπουργοῦντες αὐτοῖς, ἢ συνειδότες* [71]) *ἢ ἑκόντες ὑποδεξάμενοι ἢ οἱανδήποτε σπουδὴν εἰσενεγκόντες, τυπτόμενοι καὶ κουρευόμενοι ῥινοκοπείσθωσαν. εἰ δὲ χωρὶς οἱωνδήποτε ὅπλων τὴν ἁρπαγὴν ἐποιήσαντο, ὁ μὲν τὴν ἁρπαγὴν ποιήσας χειροκοπείσθω. οἱ δὲ βοηθήσαντες τῷ τοιούτῳ ἐν τῇ ἁρπαγῇ, ἢ συνειδότες καὶ ὑπηρετήσαντες ἢ ἑκόντες ὑποδεξάμενοι ἢ οἱανδήποτε σπουδὴν αὐτοῖς εἰσενεγκόντες, τυπτόμενοι καὶ κουρευόμενοι ἐξοριζέσθωσαν* [72]).

non desponsatam aut viduam, sive ingenua sit sive serva aut libertina, et maxime si virgines sint deo consecratae, licet suam quis sponsam rapuerit, siquidem cum armis aut gladiis aut fustibus hunc raptum fecerint, hi gladio percutiantur. Adjutores vero eorum, qui vel conscii fuerunt vel sponte eos receperunt, vel qualemcunque operam navaverunt, verberati ac tonsi naso mutilentur. Quodsi sine qualibuscunque armis raptum commiserint, is quidem, qui rapuit, manum amittat: qui vero huic in rapina opem tulerunt, sive conscii ac ministri fuerunt, sive sponte eos receperunt aut quamlibet operam iis navaverunt, verberati ac tonsi relegentur.

70) C: *καί*.

71) C hoc loco et mox iterum habet: *συνειδόντες*.

72) P: *βι. θ' τί. γ'* (l. *ιγ'*) *διατ. α'*. — Cod. IX, 13, 1. — Harm. VI, 7, 1. — Mercerius notat: »*L. un. Cod. IX, 13. l.* 53 *Cod. I,* 3. *Nov.* 143. *Nisi quod ex his constitutionibus comites quoque et administri raptoris capitali poena afficiuntur. Facit et huc l.* 5 *§.* 2 *Dig. XLVIII,* 6.« Quod ad poenam in raptores eorumque socios hoc loco statutam attinet, P. Faber ad hunc locum in Cod. Paris. 1367 haec notavit: »*Hoc est ex Nov.* 35 *Leonis, ut ostendi lib. III Semestr. cap.* 19.« Male: namque ipse Leo Nov. cit. patri Basilio tribuit. Et Prochiro nostro hoc caput esse proprium, ostendunt etiam scholia ad Basil in edit. Fabrot. tom. VII p. 443 schol. k et p. 915 schol. b, ubi hoc ipsum *μ' κεφ. τοῦ λθ' τί. τοῦ προχείρου* tanquam fons excitatur.

Digitized by Google

μα΄. Ἐάν τις οἰκειακὸς ἢ δοῦλος ἐγκληματικῶς κατηγορῇ τοῦ ἔχοντος αὐτὸν, ἀποτεμνέσθω· ἐξῃρημένου τοῦ ἐπὶ [73]) καθοσιώσει κατηγοροῦντος. καὶ ὁ ἀπελεύθερος ἔγκλημα ἐπιφέρων [74]) τῷ πάτρωνι ἢ τῷ κληρονόμῳ αὐτοῦ τὴν αὐτὴν ὑποφερέτω [75]) τιμωρίαν τοῖς δούλοις καὶ τοῖς οἰκειακοῖς [76]).

μβ΄. Ὁ τὸν μοιχὸν μετὰ τῆς ἰδίας γυναικὸς ἐν συμπλοκῇ καταλαβὼν, εἰ συμβῇ αὐτὸν ἀνελεῖν, οὐκ εὐθύνεται ὡς ἀνδροφόνος. εἰ δέ [77]) τις ὡς εἰκὸς ὑποπτεύσει τινὰ βούλεσθαι τῇ τῆς ἰδίας γαμετῆς [78]) συμπαῖξαι [79]) σωφροσύνῃ, καὶ παραγγελίας αὐτῷ ἐγγράφους τρεῖς ἐκπέμψει, ἐχούσας μαρτυρίας ἀξιοπίστων ἀνδρῶν, καὶ μετὰ ταύτας τὰς τρεῖς ἐγγράφους μαρτυρίας [80]) εὕροι αὐτὸν συντυγχάνοντα τῇ αὐτοῦ γαμετῇ [81]), εἰ μὲν εἰς τὸν ἴδιον οἶκον ἢ τὸν ταύτης [82]) τῆς γυναικὸς ἢ τὸν [83]) τοῦ μοιχοῦ, ἢ ἐν προπίναις [84]) ἢ ἐν

41. Si quis familiaris vel servus criminaliter egerit adversus eum, cujus est, capite truncator: excepto qui majestatis accusat. Et libertus patrono aut heredi ejus crimen objiciens eandem poenam sufferto, quam servi ac familiares.

42. Qui adulterum cum sua uxore in complexu comprehendit, si forte eum interemerit, non punitur ut homicida. Sed si quis, ut fieri solet, suspicatus fuerit, alium uxoris suae castitati illudere, eique tres attestationes scriptas miserit, testimonia continentes virorum fide dignorum, ac post ternas hasce scriptas attestationes invenerit eum cum sua conversantem uxore, siquidem in sua domo aut in uxoris aut adulteri, aut in

73) B: ἐπὶ τῇ
74) C: φέρων.
75) R: ὑφιστάσθω.
76) Cod. IX, 1, 20 et 21. — Harm. VI, 12, 3.
77) C habet Εἴ τις, et novam § hinc incipit.
78) B: γυναικός.
79) L: συμπλέξαι Reitzius mavult: ἐμπαῖξαι.
80) B: διαμαρτ.
81) C: τὴν αὐτοῦ γαμετήν. Cf. not. 63.
82) Deest in B.
83) Deest in C.
84) Reitzius notat: »*In Nov.* προπίναις, *ut hic. Sed in Gloss. Nom.* ποπ. *legitur, unde et hic cum Meursio in Gloss.* τὸ ρ *expunxi.*« Sed προπίναις Codices tuentur.

